3. Ὁ Ἐρατολάου περὶ [6] φθινοπωρινὴν ἰσημερίην δυσεντερικὸς ἐγένετο, καὶ πυρετὸς εἶχε, τὰ ὑποχωρήματα ἦν χολώδεα, λεπτὰ, πουλλὰ, καὶ ὕφαιμα μετρίως, ἡ δὲ ὀδύνη τῆς γαστρὸς σφοδρή. [7] Ὀῤῥοποτήσαντι δὲ καὶ γαλακτοποτήσαντι ἐν γάλακτι πεπυρωμένῳ, μετριώτερα ἐγένετο τὰ ἀλγήματα καὶ [8] τὰ ὕφαιμα· τὰ δὲ χολώδεα παρηκολούθει· καὶ ἀναστάσιες πυκναὶ, [9] ἀπονώτεραι. Τὸ δὲ πυρέτιον ἐδόκει ἀῤῥωστέοντι καὶ τοῖσι πολλοῖσιν [10] ὅλως μὴ ἔχειν διὰ παντὸς τοῦ χρόνου μετὰ τὰς πρώτας πέντε ἢ ἓξ ἡμέρας, οὕτως ἄδηλος ἦν· κατὰ κροτάφους δὲ σφυγμὸς ἦν· καὶ γλῶσσα ὑπὸ ξηρότητος ὑπότραυ-

[1] Σμ. C. – μ. vulg. – πεντεκαιδεκάτην CJ, Lind. – ιε vulg. – γλοιώδεες D. – γλιώδεες H. – γλυώδεες vulg. – ἰλυώδεες (L, aut λυγώδεες, sic), Lind. – σιτίων Lind. — [2] ὠοῦ (sic) C. – ῥυμφαίνοντι C. – ῥυμφάνοντι K. – ῥυφάνοντι DFGI, Frob. – γλώσση C. – μαννῶδες H. – μανῶδες vulg. – Foes, dans sa traduction, lit μανῶδες (lingua laxitatem pertulit), mais dans son Œc. il lit μαννῶδες, qui est la vraie leçon. V. aussi Ép. VII, 47. — [3] πεντηκοστῇ Codd., Lind. – ν vulg. — [4] πρώτης Codd. – πεντηκοστῆς pro πρ. Lind. – α vulg. – ἱδρώτιον C. – ὀσφὺν D, Lind. – ὀσφῦν vulg. – βραχὺ C. – βραγχέα (sic) D. – περιέψυχε C. — [5] πεντηκοστῇ Codd. – πεντεκοστῇ Lind. – ν vulg. – ἐχάλασσε C. – δευτέρῃ CDFGHJ – β vulg. – ἔτι Codd. – ἔτι om. vulg. – ἐλάλει K. — [6] φθινοπωρινὴν DK. – φθινοπωρίνην vulg. – ἐγίνετο C. – πουλλὰ FGHIJK. – πολλὰ vulg. — [7] ὀροποτίσαντι C. – ὀῤῥοποτήσαντι, emend. al. manu D. – γάλα πεπυρωμένω πιόντι pro γ. ἐν γ. π. C. – ἐγένοντο C. — [8] τὰ Codd., Ald., Frob. – τὰ om. vulg. – παρηκολούθη C. — [9] καὶ ἀπ. vulg. – καὶ om. C. – δὲ om. CFGIK. – τὸ πυρ. δ' ἐδ. Ald. — [10] δὲ ὅλ. C. – οὐκ C. – διαπαντὸς DHIK. – πέντε ἢ Codd., Lind. – πέντε ἢ om. vulg.

jour de la récidive, de la décoction d'orge passée fut donnée; après le quatorzième, des aliments. Pendant les sept premiers jours, renvois, et parfois vomissement, avec la boisson, sans nausée, de matières un peu bilieuses, jusqu'à ce que le ventre se fût ouvert par le bas. Les sueurs, depuis la récidive, avaient cessé, si ce n'est un peu vers le front, comme pour donner signe; la langue, après le sommeil, si on ne la nettoyait pas, était un peu bégayante à cause de la sécheresse; des fissures ulcéreuses s'y voyaient ainsi qu'à la lèvre inférieure et près des dents; selles petites, vers le quinzième jour de la récidive, fréquentes et visqueuses; la boisson de grenade les fit cesser. Urines telles que dans les affections de longue durée. Vers la fin, douleur de la poitrine pendant la déglutition des boissons; la main sur la poitrine; le malade prenant du cumin et un œuf, cela se calma. Quant à la langue, la composition avec la poudre d'encens fut utile. Le cinquantième, à compter du premier, vers le lever d'Arcturus, petites sueurs de peu de durée aux lombes et à la poitrine; le corps se refroidit beaucoup, excepté aux tempes, pendant très-peu de temps. Le cinquante-et-unième, rémission; le cinquante-deuxième la fièvre ne reprit plus.

3. (*Dyssenterie.*) Le fils d'Ératolaüs, vers l'équinoxe d'automne, devint dyssentérique, avec fièvre; les déjections étaient bilieuses, ténues, abondantes et un peu sanguinolentes; la douleur du ventre était violente. Par l'usage du petit lait et du lait chaud, les douleurs et les déjections sanguinolentes devinrent plus modérées; mais les déjections bilieuses persistèrent; présentations sur le siége, fréquentes, moins pénibles. La fièvre paraissait au malade et à la plupart ne plus exister du tout après les cinq ou six premiers jours, tant elle était obscure; mais il y avait des battements aux tempes; la langue était un peu bégayante à cause de la sécheresse; soif médiocre; insomnie; il prenait déjà des décoctions d'orge et du vin. Étant vers le quatorzième jour, il se forma deux parotides; et des deux côtés ces tumeurs dures et crues disparu-

λος καὶ διψώδης μετρίως, καὶ ἄγρυπνος· ῥυφήμασι δὲ ἤδη ἐχρῆτο καὶ οἴνοισιν. Περὶ [1] τεσσαρεσκαίδεκα ἐόντος ἡμέρας ἤδη, ἐγένετο τὰ παρ' οὖς ἐν μέρει, καὶ [2] παρ' ἑκάτερον σκληρὰ καὶ ἄπεπτα πάντα ἐμολύνθη, ὀδυνώδεα δὲ μετρίως. Οὐκ ἀποληγόντων δὲ τῶν ὑποχωρημάτων, καταχόλων τε διὰ παντὸς ἐόντων, [3] τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥυφέοντι, μετριώτερα τὰ χολώδεα καὶ τὰ ἀλγήματα [4] ἐγένετο μέχρι τινὸς χρόνου, ὑγρὰ δὲ πουλλὰ πολλάκις· καὶ ἀπόσιτος σφόδρα, καὶ μετὰ πάσης ἀνάγκης προσδεχόμενος· τὰ δὲ τῆς θέρμης καὶ γλώσσης καὶ δίψης τοιαῦτα παρηκολούθει, οἷα εἴρηται· καὶ [5] ἱδρῶτες, οὐδέν. Λήθη δέ τις τοιαύτη· [6] ἐρωτήσας, ὅ τι πύθοιτο, σμικρὸν, καὶ διαλιπὼν πάλιν ἠρώτα, καὶ ἔλεγεν αὖτις, ὡς οὐκ εἴη [7] εἰρηκώς· καθεζόμενός τε ἐπελανθάνετο, εἰ μή τις ὑπομιμνήσκοι αὐτόν· καὶ αὐτὸς ἑωυτῷ ξυνῄδει τὸ πάθος, οὐδ' ἠγνόει. Πνεῦμα, [8] ὁκοῖον ὑγιαίνοντι. Ὑπὲρ δὲ τὰς τριήκοντα μέχρι τῶν [9] τεσσαράκοντα ἥ τε ὀδύνη πουλὺ ἐπεδίδου τῆς γαστρός· ὕπτιός τε κατέκειτο, [10] καὶ ἐπιστρέφεσθαι οὐδ' ἐπὶ ποσὸν ἠδύνατο, [11] τῷ δὲ εἶναι τὸ ἄλγημα δεινόν· ψωμίζειν [12] ἄλλον δεῖ. Ἡ [13] δὲ ὑποχώρησις πουλλὴ, καὶ διακεκριμένη, λεπτή· καὶ χρώματα οἰνωπὰ, ὅσαπερ προσδέχοιτο, καὶ ὕφαιμά ἐστιν ὅτε· καὶ ὁ τόνος τοῦ σώματος, ἔκτηξις [14] ἐσχάτη καὶ ἀδυναμίη, οὐδ' [15] ἀνίστασθαι ἄλλου ἐπαίροντος ἔτι δυνατὸς ἦν. Μέσον δὲ ὀμφαλοῦ καὶ [16] χόνδρου, κατὰ ταύτην τὴν καταγωγὴν ἁπτομένῳ τῇ χειρὶ, τοιοῦτος παλμὸς ἦν, οἷος οὐδὲ ὑπὸ δρόμου οὔτε ὑπὸ δείματος περὶ καρδίην [17] ἂν γενηθείη. Πίνοντι ἄπεφθον, ὡς ἐννέα ἀττικὰς κοτύλας, ὄνειον ἐπὶ δύο ἡμέρας, χολώδης ἐγένετο [18] σφόδρα ἡ κάθαρσις, καὶ ἔληξαν αἱ ὀδύναι, καὶ σιτίων ἐπιθυμίη ἐγένετο. Μετὰ δὲ

[1] Τεσσαρεσκαίδεκα CFHIJK, Lind. – ιδ vulg. – ἡμέρας ἐόντος C. — — [2] παρεκάτερον FI. – ἑκάτερα DHJK. – ἐμολύνθη CDGHIJK, Ald., Frob., Kühn. – ὀδυνώδεες C. — [3] D'après le Gl. de Galien, cette herbe paraît être la mercuriale, parce que plus bas, § 5, l'auteur dit ῥυφήσαντι λινόζωστιν. — [4] ἐγένετο C. – ἐγένοντο vulg. – πουλλὰ D. – πολλὰ vulg. — [5] ὑδρ. C. – ἱδρῶτος Lind. — [6] ἐρειτήσας Ald. – ὁ τι D. – ὅτι vulg. – ἐρωτᾶ C. – αὖτις C. – αὖθις vulg. — [7] εἰρῆσθαι K. – ὑπομιμνήσκει C. — [8] ὁκ. K. – ὁπ. vulg. – τριήκοντα C. – τριάκ. J, Lind. – λ vulg. — [9] τεσσαράκοντα CJ, Lind. – μ vulg. – ἐνεδίδου C. – ἐμπρὸς (sic) pro τῆς γ. K. — [10] ἐπιστρ. τε οὐδὲ sine καὶ C. – πόσον J. — [11] τὸ δὲ εἶναι (μὴ pro εἶναι Codd., D restit. al. manu supra lin.; τοσοῦτον pro τὸ δὲ εἶναι K) vulg. – Je pense qu'il faut lire τῷ et prendre δὲ dans le sens de δή. — [12] ἄλλον DHIJK. – ἄλλων vulg. – ἄλλου C. – Peut-être faudrait-il lire ἔδει. — [13] δ' C. – πολλὴ

rent; elles étaient médiocrement douloureuses. Mais, les selles ne cessant pas et demeurant toujours très-bilieuses, le malade prit l'herbe dans une décoction d'orge (*V. note* 3); les selles bilieuses et les douleurs devinrent moindres pendant un certain temps, mais les selles étaient fréquemment liquides et abondantes; anorexie complète, le malade ne prenant quelque chose qu'à grand'peine. Quant à la chaleur, à la langue et à la soif, le même état persistait tel qu'il a été dit; de sueurs, point. Il y avait une sorte d'amnésie, de cette façon: il faisait une question pour s'informer de quelque chose, puis, au bout d'un intervalle, il la répétait comme s'il n'eût rien dit; mis sur le siége, il l'oubliait, à moins qu'on ne l'en fît souvenir; lui-même avait conscience de ce défaut de mémoire, qui ne lui échappait pas. Respiration, comme en santé. Passé le trentième jour et jusqu'au quarantième, la douleur du ventre crût beaucoup; il restait couché sur le dos et ne pouvait pas se tourner le moins du monde, et cela, parce que la douleur était très-violente; il fallait qu'un autre lui mît les aliments dans la bouche. Les matières des selles étaient abondantes, divisées, ténues, de couleur de vin, quelque substance qu'on lui fît prendre, et parfois sanguinolentes. Rigidité du corps, consomption et faiblesse extrêmes; il ne pouvait plus se mettre sur son séant, même un autre le soulevant. Entre le nombril et le cartilage (*xiphoïde*), quand on posait la main dans cette région, on sentait un battement tel que ni une course, ni une vive frayeur n'en produiraient au cœur un aussi violent. Buvant du lait d'ânesse cuit, environ neuf cotyles attiques (2 litres, 43), pendant deux jours, les déjections devinrent très-bilieuses, les douleurs se calmèrent, et l'appétit se fit sentir. Ensuite il but environ quatre cotyles attiques

C. – [καὶ] λ. Lind. — [14] ἰσχ. om. C. — [15] ἐν. C — [16] χονάρου (C, ω supra ο) FGIJK, Ald., Frob., – πταλμὸς sic) G. – δείγματος CDQ'. — [17] ἂν C. – ἂν om. vulg. – γεν. CHK, Kühn. – γενν. vulg. – ἀπερρόνως (sic) pro ἀπ. ὡς C. – κοτύλας om. C. – ὤνιον C. – [18] σφόδρα D. – σφοδρὴ vulg. – σφόδρ' ἡ K. – ἡ om. C. – ὀδύναι CDK, Kühn. – ὀδῦναι vulg.

ταῦτα, βοείου γάλακτος ὡς [1] τέσσαρας κοτύλας ἀττικὰς ὠμοῦ ἔπινεν, κατὰ δύο κυάθους δι' ἡμέρης, [2] πρῶτον ὕδατος τὸ ἕκτον μίσγων καὶ μέλανος οἴνου καὶ αὐστηροῦ [3] σμικρόν. Ἐμονοσίτει δὲ ἑσπέρην· ἄρτος ὡς ἡμιχοίνικος ἐγκρυφίης καὶ ἰχθύδιον πετραῖον ἁπλοῦν, ἢ κρεάδιον αἰγὸς ἢ προβάτου· ἡ δὲ πόσις τοῦ γάλακτος, ἐπὶ [4] τεσσαράκοντα ἡμέρας ἄνευ ὕδατος μετὰ τὰς πρώτας δέκα ἡμέρας, οἴνου [5] δὲ ὡς σμικρὸν μέλανος μέρος. Ἱδρώτιον δὲ ἐγένετο μετὰ τὰς [6] ἑβδομήκοντα ἤδη ἀπὸ τῆς πρώτης μετὰ λουτρὸν ἐς νύκτα. Ὀλιγοποσίῃ δὲ ἐχρῆτο, καὶ μετὰ τὸ σιτίον [7] τῷ ποτῷ αὐστηροτέρῳ, τοῖς ἄλλοισιν οὔ.

4. [8] Κτησικράτει [9] δὲ τὸ ἐν τῷ ἀλεύρῳ μᾶλλον τοῦ αἰγείου [10] ὀῤῥοῦ ξυνήνεγκεν, ὀδύνης ἐούσης περὶ ὅλην τὴν κοιλίην, καὶ πόνων, καὶ ἀναστάσιος πολλῆς καὶ ὑφαίμου, καὶ ἐπάρματος περὶ τοὺς πόδας, σχεδὸν ἤδη περὶ [11] πέντε καὶ εἴκοσιν ἡμέρας ἐόντι, καὶ Ἀγριάνῳ ταῦτα· τῷ δὲ [12] Καινίου τὸ ὄνειον ἐφθόν.

5. Τῷ [13] Κυδίος περὶ χειμερινὰς ἡλίου τροπὰς ῥῖγος καὶ πυρετὸς, καὶ ὠτὸς δεξιοῦ ἄλγημα, καὶ κεφαλῆς ὀδύνη· τὸ δὲ τοιοῦτον ἄλγημα εὐθὺς ἐκ [14] σμικροῦ παιδίου παρηκολούθει ῥευματῶδες καὶ συριγγῶδες καὶ ἔνοδμον, ἔχον δὲ οὕτω τὰ πολλὰ ἀνώδυνον ἦν· τότε [15] δὲ ἡ ὀδύνη ἦν δεινὴ καὶ ἡ κεφαλαλγίη. Δευτεραίῳ ἢ τριταίῳ ἐόντι, χολῆς ἔμετος· [16] ἀνακαθιζομένῳ ἐγένετο ὑπόχολον, γλίσχρον, ὡς ἐξ ᾠοῦ, ὕπωχρον. [17] Τετάρτῃ ἐς νύκτα καὶ [18] πέμπτῃ ὑποπαρελήρει· καὶ ἡ ὀδύνη τῆς κεφαλῆς καὶ τοῦ ὠτὸς δεινὴ, καὶ ὁ πυρετός. [19] Ἕκτῃ, ὑποχώρησις ἀπὸ λινοζώστιος, καὶ ἡ θέρμη λῆξαι ἐδόκει καὶ ἡ ὀδύνη. Τῇ [20] ἑβδόμῃ ὡς

[1] Δ DFGIK. – ὠμοῦ Lind. – ὁμοῦ vulg. – γνάθους pro κυ. C. – ὠμοῦ est une correction de Cornarius, adoptée par Linden ; correction très-bonne ; car le malade ne buvait pas ses quatre cotyles à la fois, puisqu'il les buvait par deux cyathes. — [2] τὸ πρ. C. — [3] σμ. CDK. – μ. vulg. – ἡμιχίνικος C. – ἰχθίδιον CI. – Le chénice est une mesure de capacité valant environ un litre. — [4] μ DFGK. — [5] δ' C. – σμ. C. – μ. vulg. — [6] ο K. – νύκτα FI. – ὀλιγοποσιτίη (sic) K. – δ' C. — [7] τῷ π. ἡ (ἡ τῷ π. Lind.) αὐστ. τῆς (τοῦ Lind.) ἀλωσίμου (ἀλ. DFGI, Ald., Frob., Lind.) vulg. – A τῆς ἀλ., dont aucun interprète n'a su que faire, j'ai substitué τοῖς ἄλλοισιν οὔ, qui, dans l'iotacisme, s'en rapproche. — [8] τησ. DFIJK. — [9] τὸ C. – τῷ vulg. – γάλα τὸ Lind. — [10] ὀροῦ C. – ἐπάρματα D. — [11] ε καὶ κ K. – ἐόντι C – ἐόντα vulg. – ἀδριανίῳ C. – ἀδριανῷ vulg. – ἀδριανὸς est un nom romain qui ne peut trouver place ici ; il faut sans doute lire ἀγρίανος. Ἀγρίανος est le nom d'un mois de Cos. Les noms des mois étaient portés aussi par des hommes, comme on le voit Ép. v, 22, où un malade est nommé Ἀπελ-

(1 litre, 08) de lait de vache cru, deux cyathes (*verres*) par jour, y mêlant d'abord un sixième d'eau et un peu de vin rouge et astringent. Il ne prenait des aliments qu'une fois, le soir: du pain cuit sous la cendre, environ une demi-chénice (*Voir note* 3), un seul petit poisson de rocher, ou un petit morceau de chèvre ou de mouton; quant au lait, il en continua l'usage pendant quarante jours, sans eau passé les dix premiers, mais avec un peu de vin rouge. Le soixante-dixième jour à compter du premier, il survint une petite sueur, après un bain, la nuit. Il buvait peu, et, après le repas, il usait d'une boisson astringente, exclusivement à toute autre.

4. (*Trois cas de dysenterie.*) Ctésicrate se trouva mieux du lait avec la farine que du petit lait de chèvre, ayant une douleur générale dans le ventre, des souffrances, des selles fréquentes et sanguinolentes, et du gonflement aux pieds, et étant vers le vingt-cinquième jour; il en fut de même pour Agrianus. Quant au garçon de Cænias, le lait d'ânesse cuit.

5. (*Arachnitis, suite de la carie du rocher; mort.*) Le garçon de Cydis, vers le solstice d'hiver, fut pris de frisson, de fièvre, de douleur dans l'oreille droite et de céphalalgie. Cette affection datait de l'enfance, avec fistule et écoulement de mauvaise odeur; néanmoins, en cet état, elle était la plupart du temps indolente; mais, cette fois, la douleur d'oreille était violente, ainsi que la céphalalgie. Au deuxième ou troisième jour, vomissement de bile; mis sur le siége, il rendit des matières un peu bilieuses, visqueuses comme de l'œuf, un peu jaunes. Le quatrième, dans la nuit, et le cinquième, un peu de délire; douleur de tête et d'oreille violente; fièvre intense. Le

λαῖος. Or, ἀπελλαῖος était le nom d'un mois dans le calendrier dorico-macédonien. — [12] *καινίου* CK. - *καινείου* vulg. — [13] *κύδεος* D. - *ῥῖγος* DI, Kühn. - *ῥίγος* vulg. — [14] *σμ.* C. - *μ.* vulg. - *ἔνοσμον* K. - *ἔχων ..... ἀνώδυνος* Lind. - *ταπολλὰ* DJ. — [15] *δ'* C. — [16] [*καὶ*] *ἀν.* Lind. - *ἐγίν.* D. - *ὕπεχσον* C. — [17] *ὃ* DFH. - *ἐς ν. καὶ π.* C. - *καὶ π. ἐς ν.* vulg. — [18] *ε* DFHIK. — [19] *ς* H. - *ὑπόφρα* (sic) pro *ὑπ.* C. - *ἀπὸ ...... πρόφασις* p. 382, l. 16, om. C. - *ἰνύζωντος* (sic) K. — [20] *ζ* GH. - *κροτάφου* K. - *τριγμὸς* FIK.

ὑγιής· κροτάφῳ δὲ σφυγμὸς οὐκ ἔλιπεν· ἱδρῶτος οὐδὲν ἐγένετο. [1] Ὀγδόῃ, χυλοῦ ἐῤῥύφησεν, ἐς δὲ τὴν ἑσπέρην σεύτλου· καὶ τὴν νύκτα ὕπνος· καὶ σφόδρα ἀνώδυνος· καὶ τὴν [2] ἐνάτην ᾔσθετο πρὸς ἡλίου δυσμάς· ἐς δὲ νύκτα, τῆς κεφαλῆς δεινὴ ὀδύνη καὶ τοῦ ὠτός· ξυνέβαινε δὲ καὶ πυοῤῥοεῖν τὸ οὖς περὶ τοῦτον τὸν καιρὸν, ὁπότε μάλιστα πονοίη, εὐθὺς [3] ἀπ᾿ ἀρχῆς. Ὅλην δὲ τὴν νύκτα [4] τὴν ἐνάτην καὶ τὴν ἐπιοῦσαν ἡμέρην καὶ τῆς νυκτὸς τὸ πλεῖον, οὐκ ἐπεγίνωσκεν οὐδένα, στένων δὲ διετέλει· ἡμέρην δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο, καὶ αἱ ὀδύναι ἔληξαν, καὶ τὰ τῆς θέρμης μετριώτερα. [5] Ῥυφήσαντι δὲ λινόζωστιν τῇ ἑνδεκάτῃ, ὑπεχώρησε φλεγματώδεα, μυξώδεα, κάκοδμα. [6] Δυοκαιδεκάτῃ, [7] καὶ τρισκαιδεκάτῃ, μετρίως. Τεσσαρεσκαιδεκάτῃ, ἀρξάμενος ἀφ᾿ ἑωθινοῦ [8] μέχρι ἐς μέσον ἡμέρης ἵδρου ὅλον τὸ σῶμα, μετὰ ὕπνου καὶ κώματος πολλοῦ· ἐγεῖραι ἔργον ἦν· πρὸς ἑσπέρην δὲ διηγέρθη· καὶ τὸ μὲν σῶμα μετρίως κατεψύχθη, ἐν κροτάφοισι δὲ [9] σφυγμὸς διετέλει. [10] Πεντεκαιδεκάτῃ καὶ ἑκκαιδεκάτῃ, χυλοῖσιν ἐχρήσατο. Ἐν δὲ τῇ ἑπτακαιδεκάτῃ, ἧκε πάλιν ἐς [11] νύκτα ὀδύνη τῶν αὐτῶν, καὶ παραλήρησις, καὶ [12] ἐπυοῤῥόει. Ὀκτωκαιδεκάτῃ καὶ ἐννεακαιδεκάτῃ [13] καὶ εἰκοστῇ, μανικῶς· ἦν δὲ κεχραγὼς, ἐπαίρειν ἑωυτὸν πειρώμενος, οὐ δυνάμενος δὲ κρατεῖν τῆς κεφαλῆς, τῇσι χερσὶν ἐπορεγόμενος καὶ αἰεί τι διακενῆς θηρεύων. Πρώτῃ καὶ [14] εἰκοστῇ, ἱδρώτιον περὶ πλευρὸν δεξιὸν καὶ στήθεα καὶ κεφαλήν. [15] Εἰκοστῇ δευτέρῃ, ἱδρώτιον περὶ τὸ πρόσωπον πλεῖστον ἦν· τῇ δὲ φωνῇ κατὰ τὸν χρόνον τοῦτον, εἰ μὲν σφόδρα ἀποβιάσαιτο, εἶπεν ἃ ἐβούλετο τελέως, εἰ δ᾿ [16] οὖν προχείρως, ἡμιτελέα· καὶ τὸ στόμα λελυμένον, καὶ αἱ γένυες καὶ χείλεα αἰεὶ ἐν κινήσει, [17] ὥς τι θέλοντος λέγειν· καὶ τῶν ὀφθαλμῶν πυκνὴ κίνησις καὶ ἔμβλεψις, καὶ χρῶμα

[1] Ὀγδόου FGJ. – ἐρρ. K. – ἐρ. vulg. – νῦκτα ter FI. — [2] ἐνν. FGI, Lind. – θ H. — [3] ἀπαρχῆς D. — [4] ἐνν. Lind. – θ DFHI. – ἐγίνωσκεν K. – δὲ om. D. – ὀδῦναι FI. — [5] ῥιφ. FG. – λινόζ. DFGIK. – λινοζῶστιν vulg. – ια DFGHIK. — [6] δωδεκάτη FI. – ιβ, ιγ, ιδ DGHI. — [7] καὶ om. K. — [8] μέχρις D, Lind. — [9] σφιγμὸς K. — [10] ιε, ιϛ, ιζ DGHIK. — [11] νῦκτα I. — [12] ἐπωρόει (sic) K. – ὀκτωκαιδεκάτη FGJ, Lind – ιη vulg. – καὶ om. DFHIK. – ἐννεακαιδεκάτη G, Lind. – ἐνν. F. – ἐνακαιδεκάτη J. – ιθ vulg. — [13] κ DHIK. – μανικὸς D. – μανιώδης ἦν sine δὲ Lind. – ἦν J. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. – διακαινῆς K. — [14] κ IK. – Ante ἱδ. addit καὶ vulg. – καὶ om. vulg. — [15] εἰκοστῇ δευτέρῃ FJ, Lind. – κβ vulg. – ἱδρώτια H. – ἀπεβιάσαιτο (sic) DFIK. – ἀπεβιάσατο vulg. — [16] οὐ pro οὖν Lind. – τὸ om. DFIJK. – γέννυες GK. – καὶ [τὰ] χ. Lind. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. — [17] ὥς τι Codd., Lind. – ὥστε vulg.

sixième, évacuation par le bas à l'aide de la mercuriale; la chaleur parut diminuer ainsi que la douleur. Le septième, guéri pour ainsi dire; cependant, à la tempe, le battement n'avait pas cessé; il n'était point survenu de sueur. Le huitième, il prit de la décoction d'orge passée, et, le soir, de la décoction de bette; dans la nuit, sommeil; absolument sans douleur. Le neuvième il avait encore sa connaissance au coucher du soleil; mais, vers la nuit, douleur violente de la tête et de l'oreille; dès le début il se faisait un écoulement purulent par l'oreille dans les moments où la souffrance était le plus forte. Toute la nuit du neuvième jour, ainsi que le lendemain et la plus grande partie de la nuit suivante, il ne reconnaissait personne; mais il gémissait continuellement; au jour, il revint à lui, les douleurs se calmèrent, et la chaleur fut plus modérée. Le onzième, prenant dans la décoction d'orge la mercuriale, il eut des déjections pituiteuses, muqueuses, fétides. Le douzième et le treizième, état passable. Le quatorzième, sueur générale, commençant dès le matin et durant jusqu'au milieu de la journée, avec du sommeil et beaucoup de coma; il était difficile de le réveiller; au soir, il sortit de cet assoupissement; le corps était passablement frais, mais le battement persistait aux tempes. Le quinzième et le seizième, il prit de la décoction d'orge passée. Mais le dix-septième, dans la nuit, retour de la douleur avec les mêmes circonstances; délire, écoulement de pus. Le dix-huitième, le dix-neuvième et le vingtième, délire maniaque; il criait, il s'efforçait de se soulever, mais ne pouvait maintenir sa tête, il portait les mains en avant, et palpait continuellement dans le vide. Le vingt et unième, petite sueur au côté gauche, sur le devant de la poitrine et de la tête. Le vingt-deuxième, petite sueur très-marquée au visage; quant à la voix, pendant ce temps, s'il s'efforçait beaucoup, il disait complétement ce qu'il voulait; mais s'il parlait sans efforts, les paroles n'étaient prononcées qu'à demi; bouche relâchée; mâchoires et lèvres continuellement en mouvement comme

ἐπ' ὀφθαλμοῦ δεξιοῦ, οἷον εἴρηται [1]τὸ ὕφαιμον, καὶ βλέφαρον τὸ ἐπάνω ἐπῴδησε, καὶ κατὰ γνάθον ἔρευθος ἐπὶ τελευτῆς, καὶ φλέβες πᾶσαι αἱ ἐν τῷ προσώπῳ, φανεραὶ [2]οὔτε ξυνεσταλμέναι· καὶ τοῖσιν ὀφθαλμοῖσιν [3]οὐκ ἔτι ξυμμύων ἦν, ἀλλ' ἀτενὲς ἐνορῶν, καὶ διαίρων τὰ βλέφαρα ἐς τὸ ἄνω μέρος, ὡς ἐπήν τι ἐμπέσῃ ἐς τὸ ὄμμα· καὶ ὁπότε [4]πίοι, κατιόντος ἐς τὰ στήθεα καὶ τὴν κοιλίην ψόφος, οἷος καὶ Χαρταδει. Πνεῦμα δὲ ἐπιεικῶς διὰ παντὸς μέτριον· γλῶσσα, οἵη ἐστὶ [5]τοῖσι περιπλευμονικοῖσιν, ὠχρόλευκος· ἀπ' ἀρχῆς καὶ διὰ παντὸς κεφαλαλγίη· τράχηλος διὰ παντὸς ἀκίνητος· ξυμπεριάγειν τῇ κεφαλῇ ἐδεῖτο· καὶ τὸ κατὰ [6]ῥάχιν ἐκ τραχήλου, ἰθὺ καὶ ἄκαμπτον· καὶ κλίσιες, ὁποῖαι εἴρηνται, καὶ οὐκ αἰεὶ ὕπτιος· τὸ δὲ πῦον [7]εἴδει ὀρβῶδες, λευκὸν, πουλὺ, ἔργον ὑποσπογγίσαι, ὀδμὴ ὑπερβεβλημένη· κατὰ τὸν τελευταῖον χρόνον, ποδῶν ἄψιος οὐ πάνυ καταισθανόμενος.

6. Τῇ Ἁρπαλίδεω ἀδελφῇ περὶ τέταρτον μῆνα ἢ πέμπτον κυούσῃ, οἰδήματα περὶ τοὺς πόδας ὑδατώδεα [8]ἐγένετο, καὶ τὰ κύκλα τῶν ὀφθαλμῶν ἐπῴδει, καὶ ἅπαν τὸ χρῶμα μετέωρον, οἷον [9]τοῖσι φλεγματίῃσιν· βὴξ ξηρή· ὀρθοπνοίη δὲ καὶ [10]ἆσθμα τοιοῦτον καὶ πνιγμοὶ ἔστιν ὅτε ὑπὸ τοῦ πνεύματος, ὥστε καθημένη διετέλει κατὰ κλίνην, [11]κατακεῖσθαι δὲ οὐχ οἵη τε ἦν, ἀλλ' εἴ τις καὶ ὕπνου δόξα γένοιτο, καθημένη ἦν· [12]ἄπυρος δὲ ἐπιεικῶς· καὶ τὸ κύημα ἐπὶ πλεῖστον χρόνον ἀκίνητον ἦν, ὡς διεφθαρμένον, καὶ μετέπιπτεν. Παρηκολούθησε δὲ τὸ [13]ἆσθμα σχεδὸν δύο μῆνας Κυάμοισι δὲ χρωμένη μελι-

[1] Ὑπό τι pro τὸ Lind. – ὕφαιμον : voyez une expression semblable, p. 382, l. avant-dernière. — [2] οὕτω vulg. – οὔτε est une conjecture que Coray a proposée *Des Airs, des Eaux, et des Lieux*, t. II, p. 252. — [3] οὐκέτι DFHIK. – ἀτενὲς Codd., Ald., Frob. – ἀτελὲς vulg. — [4] πίοι Codd., Lind. – πίει vulg. – διαπαντὸς ter DHK. — [5] ἐστὶ ἐν τ. D. – περιπν. FHK. – ὠχρόλευκος Ald. – ἀπαρχῆς DFK. — [6] ῥᾶχιν I. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. – πύον DFGHIK, Ald., Frob., Lind. — [7] εἴδει FHIJ. – ἤδη vulg. – πουλὺ D. – πολὺ vulg. – ὑπερβεβλημένον, al. manu η D. – καταισθανομένη K. — [8] Ante ἐγ. addunt ἃ DHIJK. – κατὰ pro καὶ τὰ DH. – κύκλω DH. – ἐποίδει (sic) K. – Peut-être faut-il lire κῦλα, comme le propose Schneider, Suppl. — [9] τοῖσι DFHIK. – τῇσι vulg. – φλεγμασίῃσι DFGJ. — [10] ἄσ. FGHIK, Ald., Frob. – ὅτε Lind. — [11] αἱ δὲ οὐχ' οἷοί τε ἦσαν pro κατ. ...... ἦν (D, restit. al. manu in marg.) (FGJ, sine ἦσαν) HI; αἱ δὲ οὐχ οἷόν τε K; ἡ δὲ οὐχ οἵη τε ἦν Ald. – ἡ δὲ οὐχ οἵη τε ἦν κατακεῖσθαι Q'. — [12] ἄπειρος FHIJK. – ἦν om. H. — [13] ἄσ. FGHIK, Ald., Frob. – χρομ. H. – καὶ μετὰ vulg. – μετὰ om. HIJK. – ἐκλείξει D. – ἐλίξει Ald., Frob., Lind. – ἐλίξει vulg. – ἐλλείξει H. – ἐλλίξει FGIJK.

s'il voulait dire quelque chose ; roulement fréquent des yeux, avec des coups d'œil ; couleur à l'œil gauche, comme celle qui a été dite sanguinolente ; gonflement de la paupière supérieure ; rougeur à la mâchoire, vers la fin de la vie ; toutes les veines de la face, saillantes loin d'être resserrées. Quant aux yeux, il ne les avait plus clignants, mais il regardait fixement, et écartait les paupières vers la partie supérieure, comme quand quelque chose est tombé dans l'œil. Lorsqu'il buvait, le liquide descendait dans la poitrine et le ventre avec bruit, comme chez Chartades (*voy. Observation* 10e). Respiration, médiocrement fréquente durant toute la maladie ; langue comme chez les péripneumoniques, d'un blanc jaune ; dès le commencement et jusqu'à la fin, céphalalgie ; rigidité continuelle du cou, qui se tournait en totalité avec la tête ; la portion de l'épine à partir du cou, droite et inflexible ; le décubitus, tel qu'il a été dit, non toujours sur le dos ; le pus, d'apparence séreuse, blanc, abondant ; c'était une affaire de l'éponger ; odeur excessive. Vers la fin, le malade ne sentait guère quand on lui touchait les pieds.

6. (*Gonflement œdémateux pendant la grossesse ; forte dyspnée ; expectoration d'une grande quantité de matières pituiteuses ; soulagement.*) La sœur d'Harpalidès étant vers le quatrième ou le cinquième mois de sa grossesse, un gonflement aqueux se forma aux pieds, le pourtour des yeux enfla, et toute la peau était soulevée comme chez les personnes phlegmatiques ; toux sèche ; parfois orthopnée, dyspnée et suffocation, telles qu'elle restait assise dans son lit sans pouvoir se coucher ; et, s'il y avait même quelque apparence de sommeil, c'est quand elle était assise. Du reste il n'y avait guère de fièvre ; le fœtus depuis longtemps ne remuait plus, comme s'il était mort, et il tombait [suivant les mouvements de la femme]. La dyspnée persista environ deux mois ; mais, la malade faisant usage de fèves d'Égypte (*nymphæa nelumbo L.*) préparées avec du miel, et de miel en éclegme (*looch*), et buvant du cumin d'Éthiopie dans du vin, son état s'amenda ;

χροῖσι καὶ μέλιτος ἐκλεῖξει, καὶ τοῦ αἰθιοπικοῦ κυμίνου πιοῦσα ἐν οἴνῳ, [1]ἐῤῥήϊσεν· μετὰ ταῦτα δὲ ἀνῆγε βήσσουσα πολλὰ, πέπονα, φλεγματώδεα, λευκὰ, καὶ τὸ πνεῦμα ἔληξεν· ἔτεκε δὲ γόνον θῆλυν.

7. Τῇ Πολυκράτεος, θέρεος, περὶ τὸ ἄστρον, πυρετός· πνεῦμα τὸ ἑωθινὸν, ἧσσον, ἀπὸ μέσου ἡμέρης μᾶλλον τὸ πνεῦμα, πυκνότερον μικρῷ· βὴξ, καὶ [2]ἀπόχρεμψις εὐθὺς ἀπ' ἀρχῆς ὁμοίη πυώδεσιν· [3]ἔσω περὶ ἀρτηρίην καὶ φάρυγγα, ὑπεσύριζε κερχναλέον· πρόσωπον εὔχροον, ἐπὶ γνάθοισιν ἐρύθημα, οὐ καταχορὲς, ἀλλ' ἐπιεικῶς ἀνθηρόν. Προϊόντος δὲ τοῦ χρόνου, καὶ ἡ φωνὴ βραγχώδης, καὶ [4]τοῦ σώματος ξύντηξις, καὶ περὶ ὀσφὺν ἐκρήγματα, καὶ ἡ [5]κοιλίη κατὰ τὸν τελευταῖον χρόνον ὑγροτέρη. Ἑβδομηκοστῇ, ὁ πυρετὸς ἔξωθεν σφόδρα [6]ἔψυχεν· ἐν δὲ τοῖσι κροτάφοισιν, ἡσυχίη· τὸ δὲ πνεῦμα πυκνότερον ἐγίνετο. Μετὰ δὲ τὴν παῦσιν ταύτην, τὸ πνεῦμα πυκνότερον οὕτως, ὥστε καθημένη διετέλεσεν, [7]ἕως ἀπέθανεν· ἐν δὲ τῇ ἀρτηρίῃ ψόφος πουλὺς [8]ἐνῆν, καὶ ἱδρῶτες πονηροὶ, καὶ ἐμβλέψιες ἐμφρονώδεες σφόδρα, μέχρι τοῦ ἐσχάτου χρόνου. Ἡμέραι δ' ἐπεγίνοντο αὐτῇ κατεψυγμένῃ πλείους ἢ πέντε· μετὰ δὲ τὰς πρώτας διετέλει πυώδεα ἀποχρεμπτομένη.

8. Τῇ ἄνω τῶν πυλέων [9]οἰκεούσῃ, ἤδη οὔσῃ πρεσβυτέρῃ, πυρέτιον ἐγένετο, καὶ, ἤδη ἀπολήγοντος, τοῦ τραχήλου ἄλγημα μέχρις ἐς ῥάχιν καὶ ὀσφύν· καὶ οὐ πάνυ ἐγκρατὴς τούτων· γένυες δὲ ξυνηγμέναι καὶ [10]ἐπὶ τοὺς ὀδόντας πλέον ἢ μήλην παρεῖναι· ἥ τε φωνὴ ψελλὴ διὰ τὸ παραλελυμένον καὶ ἀκίνητον καὶ ἀσθενὲς εἶναι τὸ σῶμα· ἔμφρων δέ. Χλιάσμασι καὶ μελικρήτῳ [11]χλιηρῷ ἐχάλασε τριταίη σχε-

[1] Ἐῤῥάϊσε D. – ἐῤῥήϊσε Lind. – ἐράϊσε vulg. – γόνον D. – γόνυ θῆλυ vulg. – Dans le Suppl. de Schneider, Weigel propose de lire γόνον θῆλυν, qu'il rend par *un enfant faible*. Γόνον est une bonne conjecture, justifiée par D. Cela admis, la correction de θῆλυ en θῆλυν va de soi, même sans manuscrits. — [2] ἀπόπεμψις K. – ἀπόψεμψις (sic) I. – ἀπαρχῆς F. — [3] ἔσω [δὲ] Lind. – κερχαλέον H. – κερχάλεον IK. – καρχάλεον DFGJ, Ald. — [4] Ante τοῦ addit ἡ D. – ὀσφὺν D, Lind., Kühn. – ὀσφῦν vulg. – ἐκρίγματα F (I, cum μ supra γ). – ἐκρίγματα J. – ἐκρίμματα H. – Weigel, dans le Suppl. de Schneider, entend ce mot dans le sens de *éruption* ; je crois plutôt qu'il signifie *écorchure*, et peut-être faut-il lire ἐκτρίμματα. — [5] κοιλία K. – αὐτὸν pro τελ. – G. ὑγροτέρα H. – ὑγροτάτη K. — [6] περιέψυχεν H. – Remarquez ἔψυχεν pris pour ἐψύχθη ; voy. un emploi semblable p. 381, note 13. — [7] ὥστε pro ἕως vulg. — [8] ἦν D. – ἐμφρονώδεις Codd. — [9] οἰκούσῃ K. – ῥᾶχιν I. – ὀσφὺν D, Lind., Kühn. – ὀσφῦν vulg. – ῥάχις signifie ici *le dos* seulement, voy. *Des artic.*, t. IV, § 41, p. 176,

puis elle rendit avec toux une expectoration abondante, cuite, pituiteuse, blanche, et la dyspnée cessa. Elle mit au monde un enfant femelle.

7. (*Phthisie aiguë ou laryngite?*) La femme de Polycrate, en été, vers la canicule, fut prise de fièvre; difficulté de respirer, moindre le matin, plus forte après midi, et alors respiration un peu plus fréquente; toux; expectoration, dès le début, d'apparence purulente; en dedans, à la trachée-artère et à la gorge, s'entendait une espèce de sifflement raboteux; visage de bonne couleur; sur les joues, rougeur non pas foncée, mais assez vive. Plus tard la voix devint rauque, le corps se fondit, les lombes s'écorchèrent, et vers la fin il survint de la diarrhée. Le soixante-dixième jour, la fièvre était très-refroidie à l'extérieur; pas de battements aux tempes; mais la respiration devint plus fréquente. Après cette pause, la respiration s'accéléra tellement que la malade demeura sur son séant jusqu'à sa mort; beaucoup de bruit dans la trachée-artère; sueurs de mauvaise nature; regard tout à fait intelligent jusqu'au dernier moment. Il s'écoula plus de cinq jours depuis le refroidissement de la fièvre; passé les premiers jours, la malade rendit continuellement une expectoration purulente.

8. (*Douleur du rachis et contracture des mâchoires à la suite d'une petite fièvre.*) La femme demeurant en haut des portes, étant déjà d'un certain âge, fut prise d'une fébricule; et, au moment où cette fièvre cessait, douleur dans le cou, s'étendant jusqu'au dos et aux lombes; impuissance presque absolue de se servir de ces parties; mâchoires resserrées et dents appliquées les unes contre les autres, au point de ne pas laisser passer une sonde; voix bégayante à cause que le corps était paralysé, immobile et faible; connaissance conservée. A l'aide des fomentations et de l'hydromel tiède, cet état s'amenda vers le troisième jour; puis la décoction d'orge

la note 9, sur une signification semblable attribuée à ce mot.— [10] ἑωυτούς vulg. – J'ai, par conjecture, changé ἑωυτοὺς en ἐπὶ τούς. – μήλη, emend. al. manu I. – παρῆνκι DFIJ. — [11] χλιηρῷ H. – χλιερῷ vulg.

δὸν, καὶ μετὰ ταῦτα χυλοῖσι καὶ ζωμοῖσιν ὑγιὴς ἐγένετο. Ξυνέβη δὲ τελευτῶντος τοῦ μετοπωρινοῦ καιροῦ.

9. Ὁ παρὰ [1] Ἁρπαλίδῃ ἀλείπτης, ἀκρατέστερος σκελέων καὶ χειρῶν περὶ φθινόπωρον γενόμενος, ἔπιεν [2] εἰκῇ φάρμακον ἄνω καὶ κάτω· ἐκ δὲ τῆς καθάρσιος, πυρετός· καὶ ἐς τὴν ἀρτηρίην κατεῤῥύη [3] τοιοῦτον, οἷον ἐπισχεῖν διαλεγόμενον, καὶ ἀσθμαίνειν ἐν τῷ διαλέγεσθαι ὁμοίως κυναγχικῷ βραγχώδει· πνιγμὸς καταπίνοντι, καὶ ἄλλα κυναγχικά· οἴδημα δὲ οὐκ ἦν. Ὁ δὲ πυρετὸς ἐπέτεινε, καὶ ἡ βὴξ, καὶ [4] ἡ ἀπόχρεμψις ὑγροῦ καὶ πολλοῦ φλέγματος. Προϊόντος δὲ, καὶ ὀδύνη κατὰ στῆθος καὶ μαζὸν ἀριστερόν· ὁπότε δὲ ἐξαναστταίη ἢ μετακινηθείη, [5] ἆσθμα πουλὺ καὶ ἱδρὼς ἀπὸ μετώπου καὶ κεφαλῆς· καὶ τὰ περὶ τὴν φάρυγγα κατεῖχε, [6] μαλακώτερον δὲ, ἐς τὸ στῆθος τῆς ὀδύνης ἀπελθούσης. Ἀπ' ἀρχῆς μὲν οὖν κυάμοισι μελιχροῖσιν ἐχρῆτο· ἐπεὶ δὲ οἱ πυρετοὶ ἐπεῖχον, μᾶλλον [7] ὀξυμέλιτι θερμῷ καὶ μέλιτος ἐκλείξει πολλῇ. Παρελθουσέων [8] δὲ τεσσάρων καὶ δέκα ἡμερέων, ἅπαντα ἔληξε, καὶ τῶν περὶ χεῖρας καὶ σκέλεα οὐ πουλὺ ὕστερον ἐγκρατὴς ἐγένετο.

10. Χαρτάδει, πυρετὸς [9] καῦσος, ἔμετος χολῆς πουλὺς, καὶ κάτω ὑποχώρησις· ἄγρυπνος· καὶ κατὰ σπλῆνα ἔπαρμα στρογγύλον. [10] Ἐνάτῃ, πρωῒ [11] ἐξανέστη, ψόφου περὶ τὴν κοιλίην ἄνευ ὀδύνης γενομένου· ὡς ἀφοδεύων δὲ ἦν, ὑπῆλθεν αἵματος πλέον ἢ χοεὺς προσφάτου, καὶ μικρὸν ἐπισχόντι, καὶ τρίτον, πεπηγότες θρόμβοι. Ἄση δὲ περὶ τὴν [12] καρδίην, καὶ ἱδρώτιον σχεδὸν καθ' ὅλον τὸ σῶμα· καὶ τὸ [13] πυρέτιον καταψύχειν ἐδόκει· καὶ ἔμφρων τὸ πρῶτον· προϊούσης δὲ τῆς

[1] Ἁρπαλίδῃ DHIK. – ἁρπαλίδι vulg. – ἀλήπτης H. – On lit dans le Gl. de Galien : Ἀλάπτης, ὁ ἐξ Ἀλάπτων, qui est ex Alaptis; Alapta enim oppidum est Thraciæ. Il serait possible que cette glose se rapportât à ce passage et qu'il fallût lire ἀλάπτης au lieu de ἀλείπτης. — [2] εἰκῇ Lind. – ἐκεῖ vulg. – Cette correction, qui me paraît fort bonne, est due à Cornarius; Foes et Linden l'ont adoptée. — [3] τὸ τοι. vulg. – τὸ om. Codd. – βραχμώδει DGHIJ. – βραχμῶδει (sic) F. – βραγχιώδει Ald. — [4] ἡ K. – ἡ om. vulg. — [5] ἆσ. DJ, Kühn. – ἄσ. vulg. – πουλὺ Codd., Lind. – πολὺ vulg. — [6] μαλθακ. H. – κύαμοι, al. manu κυάμοις D. – μελιχρῆσιν D. – Post μελ. addunt θερμοῖσιν FHIK. - [7] ὀξομέλιτι F. – ὀξυμέλιτι Ald. – ἐκλίξει Lind. – ἐλίξει vulg. – ἐλίξει D. – ἐλήξει F. — [8] δὲ Codd. – δὲ om. vulg. – ὁ pro τεσσ. K. – ιὸ H. – πουλὺ DH. – πολὺ vulg. — [9] καυσώδης H. – πουλλῆς DFIJK. – πολλῆς H. – στρογγύλον DFIJ. — [10] ἐνάτῃ H. – ἐν αὐτῇ vulg. – τῇ τρίτῃ Lind. – τῇ τρ. est une correction de Cornarius,

sées augmentèrent ainsi que l'agitation, la respiration s'accéléra un peu; il avait dans ses paroles et son accueil un ton plus décidé et plus bienveillant qu'il ne convenait; quelques lipothymies parurent se déclarer; on lui fit prendre de la décoction d'orge passée et de l'eau de farine, mais sans résultat; loin de là, respiration excessivement fréquente; jactitation violente; le malade se jetait à droite, à gauche, sans pouvoir demeurer un moment en repos; pieds froids; chaleur plutôt aux tempes et à la tête, vers l'approche de la mort; petites sueurs, mauvaises; quand il buvait, bruit dans la poitrine et le ventre à mesure de la descente du liquide, ce qui est du plus mauvais augure. Disant qu'il avait un besoin par le bas, et son regard s'étant fixé, après quelques moments il expira.

11. (*Fièvre qui a quelques caractères de la dothiénenterie, mais que je crois pourtant une fièvre pseudo-continue.*) La femme d'Hermoptolème : en hiver, fièvre, souffrances dans la tête; quand elle buvait, elle semblait avaler avec difficulté, elle se mettait sur le siége et disait que le cœur lui défaillait; langue livide dès le début. La cause occasionnelle de la maladie paraissait être un refroidissement à la suite d'un bain. Insomnie nuit et jour. Après les premiers jours, interrogée, elle répondit qu'elle souffrait non plus seulement dans la tête, mais aussi dans tout le corps; soif tantôt intense, tantôt modérée. Le cinquième, le sixième et jusqu'au neuvième environ, délire de paroles, puis elle revenait à se parler à elle-même, dans le coma, en mots inachevés; parfois elle étendait la main vers la muraille et vers un oreiller frais qui était à sa tête, et elle le rapprochait de sa poitrine; parfois elle rejetait loin d'elle la couver-

— [14] δίψα FI. — [15] ε K. — [16] ς FGHIK. — [17] ἐνν. C, Lind. – θ DFGHIK. αὖτις C. – αὖθις vulg. – ἑωυτὴν CFHIJK. – ἑαυτὴν vulg. — [18] κωμμ. C. – ἐμπεδέα C. — [19] ἐπωρ. CDH. – ἐπορ. vulg. – προσκεφάλαιον C, Lind. – προσκέφαλον vulg. — [20] τοῖς D. — [21] τὸ ὑγ.; voy. une expression semblable, p. 376, l. 1. – δάκρυον· ἦν δὲ [τὸ] οὖρον Lind. – ὃ om. C. – τοῖς D. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. — [22] ἐνδεκάτῃ CJ, Lind. – ια vulg. – μετριωτέρη (μετριωτέρα D) εἶναι θέρμη D (θερμὴ C).

θερμὴ εἶναι, καὶ ἄδιψος ἔστιν ὅτε ἐγένετο, οὕτως ὡς, εἰ μή τις [1] διδοίη, οὐκ ᾔτει. Ὕπνοι μετὰ τὸν πρῶτον χρόνον ἐγένοντο ἐπιεικῶς ἡμέρης, ἐς δὲ νύκτα ἄγρυπνος, καὶ ἐπόνει μᾶλλον ἐς νύκτα. [2] Ἐνάτῃ ἡ γαστὴρ ἐξεταράχθη ὑδατώδεα [3] διαχωρήσασα, ὡσαύτως δὴ καὶ [4] ἑνδεκάτῃ· τὰς δὲ ἐπιούσας, ἐπιεικῶς πολλὴ ἡ διανάστασις καὶ τοιαύτη. Ἦσαν δὲ ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἀκρηχολίαι, καὶ [5] κλαυθμοὶ οἷον παιδαρίου, καὶ βοὴ, καὶ δείματα, καὶ περιβλέψιες, ὁπότε δὴ ἐκ τοῦ κώματος ἐγείροιτο. [6] Τῇ δὲ τεσσαρεσκαιδεκάτῃ, ἔργον κατέχειν ἦν, ἀναπηδῶσαν καὶ βοῶσαν ἐξαίφνης καὶ συντόνως, ὥσπερ ἂν ἐκ πληγῆς καὶ δεινῆς ὀδύνης καὶ φόβου, ὡς καταλαβών τις αὐτὴν κατάσχοι χρόνον ὀλίγον· εἶτα πάλιν [7] ἡσυχίην τε εἶχε κεκωματισμένη, [8] καὶ ὑπνώσσουσα διετέλει οὐχ ὁρῶσα ὅλως, ἔστι δ' ὅτε οὐδὲ ἀκούουσα· [9] μετέβαλλε δὲ ἐς ἀμφότερα θόρυβόν τε καὶ ἡσυχίην πυκνὰ, σχεδὸν ὅλην τὴν ἡμέρην ταύτην· ἐς νύκτα δὲ τὴν ἐπομένην, ὑπῆλθέ τι [10] ὕφαιμον, οἷον μυξῶδες, καὶ πάλιν οἷον ἰλυῶδες, μετὰ δὲ, πρασοειδέα σφόδρα καὶ μέλανα. Τῇ δὲ [11] πεντεκαιδεκάτῃ, ὀξεῖς ῥιπτασμοί· καὶ οἱ φόβοι, καὶ ἡ βοὴ [12] ἐγίνετο ἤπιος, παρηκολούθει δὲ τὸ ἀγριοῦσθαι καὶ τὸ θυμαίνειν καὶ κλαίειν, εἰ μή οἱ ταχέως, ὅ τι βούλοιτο, ῥεχθείη· καὶ [13] ἐπεγίνωσκεν μὲν πάντας καὶ πάντα [14] ἤδη μετὰ πρώτας εὐθὺς ἡμέρας· καὶ τὸ τοῦ ὀφθαλμοῦ κατέστη· ἡ δὲ μανίη [15] παρὰ καιρὸν, καὶ ἡ βοὴ, [16] καὶ [17] ἡ μεταβολὴ [18] ἡ εἰρημένη παρηκολούθει ἐς τὸ κῶμα· [19] ἤκουεν ἀνωμάλως, τὰ μὲν σφόδρα καὶ εἰ σμικρόν τις λέγοι, ἐπ' ἐνίων δὲ μέζον ἔδει διαλέγεσθαι· πόδες [20] αἰεὶ ὁμαλῶς τῷ ἄλλῳ σώματι θερμοὶ ἔς τε τὰς τελευταίας ἡμέρας. Τῇ δὲ [21] ἑκκαιδε-

[1] Δ' οἰδείη (sic) FGHIJ. – ἦν τι Codd. Q' (C, in marg. ᾔτει). – νύκτα (bis) FI. – ἄϋπνος DQ', Lind. — [2] ἐνν. C, Lind. – θ DFGIK. — [3] διαχ. ὡσ. δὴ om. C. — [4] δεκάτῃ CDJ. – ι FGHIK. – καὶ τὰς pro τὰς δὲ C. – δ' H. — [5] κραυθμοὶ (sic) H. – δείγματα J. – δὴ om. C. – ἐγείροιτο Codd. – ἐγείρατο vulg. — [6] τῇ δὲ om. C. – ιδ DFGHIK. – συντόμως D. — [7] ἰσ. C. – κεκωμματισμένη C. – καὶ κωματισμένη vulg. — [8] καὶ ὑπνώσσουσα C. – ὑπνοῦσα sine καὶ vulg. – οὐχ' H. – ὅλως om. C. – οὐδ' C. – ἄκουσα (sic) C. — [9] μετέβαλε K. – δ' Codd., Frob. – εἰς D. – νύκτα FI. — [10] καὶ ὑφ. vulg. – καὶ om. C. — [11] πεντεκαιδεκάτη CJ, Lind. – ιε vulg. – καὶ repetitur H. – οἱ om. C. — [12] ἐγίν. FH. – ἐγέν. vulg. – ἤπιος Codd., Ald., Frob. – παρηκολούθη C. – ῥεχθείη Codd., Ald. – ὀρεχθείη vulg. — [13] ἐπεγίνωσκον μὲν πάντας CFGHIJK, Ald. — [14] ἤδει DH. – ἡμ. εὐθὺς C. — [15] καὶ τὸ παρὰ C. — [16] καὶ ἡ μ. om. C. — [17] ἡ om. DFGIJK. — [18] ἡ om. D. – κῶμμα C. —

ture; sur l'œil droit était la marque sanguinolente, et il y avait des larmes; urine telle que l'urine qui est toujours mauvaise chez les enfants (Pronostic, § 12, t. II, p. 142). La malade au début rendit des selles d'un jaune blanchâtre, plus tard des matières très-liquides et très-peu colorées. Le onzième elle paraissait chaude plus modérément, et parfois elle était si peu altérée que, si on ne lui donnait pas à boire, elle ne demandait pas. Après le premier temps il y eut assez de sommeil dans la journée, mais point dans la nuit; et c'était dans la nuit qu'elle souffrait le plus. Le ventre s'était dérangé le neuvième, et il y avait eu des selles liquides ainsi que le onzième; les jours suivants, les présentations sur le siége furent assez fréquentes, et les matières de même nature. Dans les premiers jours, emportements, pleurs comme ceux d'un enfant, cris, terreurs, regards effarés surtout quand elle se réveillait du coma. Le quatorzième, il était difficile de la contenir, elle s'élançait, criait subitement et continuellement, comme recevant un coup, éprouvant une violente douleur et ressentant de la terreur, jusqu'à ce que quelqu'un, la saisissant, la maintenait quelque temps; alors elle rentrait dans le calme avec coma, et demeurait dans la somnolence, n'ayant plus l'usage de la vue, ni parfois celui de l'ouïe; ces alternatives d'agitation et de calme furent fréquentes durant cette journée presque tout entière. La nuit suivante elle rendit quelques matières sanguinolentes, comme muqueuses, et puis comme bourbeuses; ensuite des matières très-porracées, et noires. Le quinzième jour, agitation aiguë; les terreurs et les cris s'apaisaient; calme; mais il survenait des irritations, des colères, des plaintes, si on ne lui faisait promptement ce qu'elle voulait; elle reconnaissait tout et chacun, dès que les premiers jours furent passés; ce qui était à l'œil disparut; mais l'état maniaque singu-

[19] ὅκου γε pro ἤ. C. – τις C, Lind. – τι vulg. – ἐπενίων K. – μέζον Codd. – μεῖζον vulg. – ἔδει CFGHIJK. – ἐδόκει vulg. – ἐδόκει [δεῖν] Lind. — [20] καὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. — [21] ἑκκαιδεκάτη J, Lind. – ἑξκαιδεκάτη (sic) C. – ις vulg. – ἧσσον. Ἐπτ. om. C.

κάτῃ, ἧσσον. [1] Ἑπτακαιδεκάτῃ, μετριώτερον τῶν ἄλλων ἡμερῶν ἔχουσα, ἐς νύκτα, ὡς φρίκης αὐτῇ γενομένης, ξυνάγουσα ἐπυρέτηνε μᾶλλον· καὶ ἡ δίψα πουλλὴ ἦν· τὰ δ' [2] ἄλλα ὅμοια παρηκολούθει· τρόμοι δὲ περὶ τὰς χεῖρας ἐγένοντο, καὶ κεφαλὴν ὑπέσειεν· [3] ὑπώπια καὶ ἐμβλέψιες τῶν ὀφθαλμῶν πονηραί· καὶ ἡ δίψα ἰσχυρή· [4] πιέουσα, πάλιν ᾔτει, καὶ ἥρπαζε, καὶ λαύρως ἔπινεν, ἀποσπᾶσαι δὲ οὐκ ἠδύναντο· γλῶσσα ξηρὴ, ἐρυθρὴ σφόδρα, καὶ τὸ στόμα ὅλον καὶ χείλεα [5] καθηλκωμένα καὶ ξηρά· καὶ τὰς χεῖρας ἀμφοτέρας ἐπὶ τὸ στόμα [6] φέρουσα ἐμασσᾶτο, τρομώδης ἐοῦσα, καὶ, εἴ τι προσενέγκαι τις [7] μασσήσασθαι ἢ ῥυφήσασθαι, λαύρως καὶ μανικῶς κατέπινε καὶ ἐῤῥύφανεν· καὶ τὰ περὶ τὴν ὄψιν πονηρά. [8] Ἡμέρῃσι δὲ τρισὶν ἢ [9] τέσσαρσι πρὸ τῆς τελευτῆς, φρῖκαί τε αὐτῇ ἔστιν ὅτε ἐνέπιπτον, [10] ὥστε ξυνάγειν τὸ σῶμα, καὶ [11] ξυγκαλύπτεσθαι, [12] καὶ πνευστιᾷν· τέτανοί τε τὰ σκέλεα, καὶ ψύξις ποδῶν· ἡ δίψα δὲ ὁμοίη, καὶ τὰ περὶ τὴν διάνοιαν ὅμοια· καὶ ἐξαναστάσιες, ἢ διὰ κενῆς, ἢ σμικρὰ καὶ λεπτὰ μετά τινος βραχέος τόνου. Τῇ δὲ τελευταίῃ, τῇ τρίτῃ καὶ εἰκοστῇ, τὸ ὄμμά μέγα [13] τὸ πρωῒ ἦν, καὶ περίβλεψις βραχείη· καὶ ἡσυχίην ἔσχεν ἔστιν ὅτε καὶ ἄνευ τοῦ ξυγκεκαλύφθαι τε καὶ κεκωματίσθαι. Πρὸς δὲ τὴν ἑσπέρην, τοῦ δεξιοῦ ὄμματος κίνησις, οἵη ὀρεούσης, ἤ τινος [14] βουλήσιος, ἐκ τοῦ ἔξω κανθοῦ πρὸς ῥῖνα· [15] ἐπεγίνωσκέ τε καὶ πρὸς τὸ ἐρωτώμενον [16] ὑπεκρίνετο· φωνὴ μετὰ πολλὰ ὑπότραυλος, καὶ ὑπὸ [17] τῆς [18] βοῆς ἀπεῤῥωγυῖα καὶ βραγχώδης.

[1] Ἑπτακαιδεκάτη J, Lind. – ιζ vulg. – *μετριώτεροι* H. – *νύκτα* FI. – *ἐπυρέτηνε* CDHK, Kühn. – *ἐπυρέττηνε* vulg. – *δῖψα* (*bis*) FGI. – *δίψη* (*bis*) D. – *πουλλὴ* D. – *πολλὴ* vulg. — [2] *ἄλλ'* C. — [3] *ὑπώπια* C (*υποπιοι* sic al. manu in marg. G). – *ὑπ.* om. vulg. – *καὶ αἱ* vulg. – *αἱ* om. C. – *τῶν* om. C. — [4] *ποιέουσα* C. – *λάβρως* CDFGHIK. – *ἔπινεν* Codd. – *ἔπιεν* vulg. – *ἀποσπᾶσαι* Codd., Ald., Frob. – *δὲ* om. K. — [5] *καθελκωμένα* H. – *καθελκώμενα* FIJK. – *καὶ* om. C. — [6] *ἀφαιροῦσα* C. – *ἐμασᾶτο* FGHIJK. – *προσενέγκαι* Codd. – *προσήνεγκε* vulg. — [7] *μασήσ.* FGHIJK. – *λάβρως* DH. – *ἐρρύφανε* DK. – *ἐρύφανε* FGHIJ, Ald., Frob., Lind. – *ἐρύμφανε* C – *ἐρόφανε* vulg. – *τὰ* om. D. — [8] *ἡμέραις* D. – *τρίτησιν* Codd, Q'. — [9] *τέσσαρσι* C, Lind. – *τέτταρσι* K, Kühn. – *τέταρσι* vulg. – *τετάρτησι* J. – *φρῖκαι* Kühn. – *φρίκαι* vulg. – *ὅτ'* C. — [10] *ὥστε ...... πνευστιᾷν* ponitur post *ποδῶν* Lind. — [11] *σ.* D. – *συγκαλύπτειν* C. — [12] *τε καὶ* vulg. – *τε* om. C. – *δίψη* D. – *δῖψα* FGI. – *διακενῆς* DHIK. — [13] *τὸ* om. DFHIJK. – *τοπρωὶ* Frob. – *ὑπόβλεψις* Frob. – *ξυγκεκαλύφθαι* DFHIK, Kühn. – *ξυγκεκαλῦφθαι* vulg. – *κεκωματίσθαι* (C, *κεκωμμ.*) D. – *κωματίσθαι* vulg. — [14] *βουλήσεως* K. – *ῥῖνα*

lier, les cris et les alternatives susdites de coma persistaient; elle entendait d'une manière irrégulière, parfois très-bien, même quand on parlait bas, d'autres fois il fallait parler plus haut; chaleur aux pieds toujours égale à celle du reste du corps jusqu'aux derniers jours [où il n'en fut plus de même]. Le seizième, état moins grave. Le dix-septième, étant dans un état plus passable que les autres jours, elle se ramassa sur elle-même la nuit, comme ayant du frisson, et la fièvre fut plus forte; la soif était grande; du reste, les autres accidents persistaient; il survint des tremblements aux mains, et des mouvements agitèrent la tête (1 Prorrh., 143); le dessous des yeux et les regards, de mauvais augure; soif intense; venant de boire, elle redemandait, saisissait le vase, buvait avidement, et on ne pouvait le lui arracher; la langue sèche, très-rouge; la bouche entière et les lèvres ulcérées et sèches; portant les deux mains à la bouche, elle se les mordait, étant tremblante, et, si on lui donnait quelque chose à mâcher ou à prendre, elle mâchait ou avalait avec avidité et emportement; l'état des yeux était mauvais. Trois ou quatre jours avant la fin, des frissons lui survinrent par moments, de sorte qu'elle se ramassait, se couvrait et haletait; contraction dans les jambes; refroidissement des pieds; soif, la même; état de l'intelligence, le même; présentations sur le siége, ou sans résultat, ou produisant des déjections peu abondantes et ténues avec une certaine tension de peu de durée. Le dernier jour, à savoir le vingt-troisième, l'œil était grand le matin; la malade jetait autour d'elle des regards rapides; elle se tenait parfois en repos et sans se couvrir ni être dans le coma. Vers le soir, mouvement de l'œil droit, de l'angle externe vers le nez, comme si la malade voyait ou voulait quelque chose; elle reconnaissait et répondait aux questions; voix devenue à la longue un peu bégayante, cassée et rauque à force de crier.

DIJK, Kühn. - ῥίνα vulg. — [15] καὶ ἐπ. sine τε C. — [16] ὑπ. C. - ἀπ. vulg. - ἀπεκρίνατο K. — [17] τῇ sine βοῆς C. - Sans doute il faut lire dans C ὑπό τι. — [18] θοῆς (sic) K. - ἀπερρωγεῖα, in marg. γυῖα C.

12. Τῷ [1] Ἀμφιφράδεος, θέρεος, πλευροῦ ἀριστεροῦ ὀδύνη, καὶ βὴξ, καὶ ὑποχωρήματα πουλλὰ, ὑδατώδεα, καὶ ὑπόχολα. [2] Ὁ πυρετὸς ἐδόκει λῆξαι περὶ ἑβδόμην· ἡ βὴξ ἔνι· χρῶμα ὑπόλευκον καὶ ὕπωχρον. Περὶ δὲ τὰς [3] δώδεκα, ὑπόχλωρον ἔπτυεν· τὸ πνεῦμα, προϊόντος τοῦ νοσήματος, αἰεὶ πυκνότερον, [4] καὶ ἆσθμα, καὶ ὑποκερχάλεον περὶ στήθεα καὶ ἀρτηρίην. Ῥυφήμασιν ἐχρῆτο, ἔμφρων ἅπαντα τὸν χρόνον. Περὶ [5] δὲ εἰκοστὴν ὀγδόην ἐτελεύτησεν· ἱδρῶτες ἔστιν ὅτε [6] ἐγένοντο.

13. Ὁ ἔξω κάπηλος ὁ [7] περιπλευμονικὸς, κοιλίη εὐθὺς ὑπῄει. Περὶ τετάρτην, ἱδρὼς πουλύς· ἐδόκει λῆξαι τὸ πυρέτιον· [8] τὸ βηχίον, οὐδὲν ὡς εἰπεῖν. Πέμπτη καὶ ἕκτη καὶ ἑβδόμη, ἐπεῖχεν ὁ πυρετός. Ἱδρὼς, [9] ὀγδόῃ. Ἐνάτῃ, ἀπεχρέμψατο ὠχρόν. Δεκάτῃ, ᾔει ἅλες οὐ πολλάκις. Περὶ [10] ἑνδεκάτην, ἠπιώτερος. Ἐν τῇ [11] τεσσαρεσκαιδεκάτῃ, ὑγιής.

14. [12] Ἑρμοπτολέμῳ, μετὰ πληϊάδος δύσιν, πυρετὸς ἐπῆλθεν· βὴξ οὐ πάνυ· γλῶσσα δὲ περιπλευμονική. [13] Ἐνάτῃ, ἐξίδρωσεν ὅλος, κατεψύχθη τε, ὡς ἐδόκει· προσήνεγκαν αὐτῷ χυλόν· περὶ μέσον ἡμέρης ἐθερμαίνετο. [14] Ἑνδεκάτῃ, ἱδρὼς, καὶ κοιλίη ἐξυγραίνετο· [15] κατάχολα ὑποχωρήματα· τὸ βηχίον ἐπεγένετο. Τεσσαρεσκαιδεκάτῃ, ὠχρὸν ἀπεχρέμψατο, καὶ ῥεγχώδης ἦν, καὶ [16] τῇ πεντεκαιδεκάτῃ, ἔμφρων δὲ πάντα τὸν χρόνον ἐὼν, ἐτελεύτησεν.

[1] Ἀμφιβράδεος D. – πουλλὰ D. – πολλὰ vulg. – καὶ ὑδ. C. — [2] καὶ ὁ vulg. – καὶ om. C. — ἐνὶ (sic) D. – ἐνῆν CHIK. — [3] δώδεκα CJ. – δυοκαίδεκα Lind. – ιβ vulg. – νουσήματος Lind. — [4] καὶ ἆσ. om. C. – ἆσ. DJ, Kühn. – ἄσ. vulg. – ὑποκερχάλεον DGHIJK. – ὑποκερχαλέον vulg. – ὑποκαρχαλέον C. – ἀρτηρίην C. – ἀρτηρίας vulg. — [5] δὲ om. C. – εἰκοστὴν καὶ ὀγδόην C (DJ, sine καὶ). – ὀγδόην καὶ εἰκοστὴν Lind. – κη vulg. — [6] ἐγίν. (ἐγέν. D) ἔξω. Κάπηλος vulg. – ἐγίνοντο. Ὁ ἔξω κάπηλος C. — [7] περιπλ. DFGJ, Ald., Frob. – περιπν. vulg. – κοιλίης D. – τετάρτην CDJ, Lind. – δ vulg. — [8] τὸ om. C. – πέμπτη καὶ ἕκτη καὶ ἑβδόμη CJ, Lind. – ε καὶ ς καὶ ζ vulg. — [9] ὀγδόη. ἐνάτη J (ἐν. C, Lind.) – η. θ vulg. – ᾔει om. C. — [10] ἑνδεκάτην CJ, Lind. – ια vulg. – ἠπ. CDFGHIK, Ald., Frob. — [11] τεσσαρεσκαιδεκάτη C, Lind. – ιδ vulg. – δ K. — [12] ἑρμοπτολέμων C. – ἐπῆλθε om. C. – περιπν. CHK. — [13] ἐνν. GI, Lind. – ἐνν. F. – θ H. – τε C. – τε om. vulg. — [14] ἑνδεκάτη CJ, Lind. – ια vulg. – ἐξυγραίνετο C. – ἐξηραίνετο vulg. – ἐρρήγνυτο Lind. — [15] κατ. .... ἐπεγένετο om. (D, restit. al. manu) FGIJK. – βηχεῖον C. – τεσσαρεσκαιδεκάτη CJ, Lind. – ιδ vulg. – ῥεγχώδης CHK. – ῥεγχώδες vulg. — [16] τῇ om. C. – πεντεκαιδεκάτη CJ, Lind. – ιε vulg. – ἄφρων C.

12. (*Cette Observation a de grandes analogies avec les Observations 14e, 16e, 17e et 23e, dans lesquelles l'auteur signale comme un caractère commun ce qu'il appelle langue péripneumonique, c'est-à-dire une langue a'un jaune blanc; voy. p. 377. Je crois qu'il s'agit ici non pas d'une péripneumonie franche, mais d'une péripneumonie modifiée par quelque circonstance; voy.* Argument, p. 363.) Le garçon d'Amphiphradès, en été, fut pris d'une douleur du côté gauche; toux; déjections abondantes, aqueuses et subbilieuses. La fièvre parut cesser vers le septième jour; toux, persistante; couleur un peu blanche et un peu jaune. Vers le douzième, expectoration un peu jaune; respiration, à mesure que la maladie avançait, toujours plus fréquente, dyspnée, bruit un peu râpeux dans la poitrine et dans la trachée-artère. Il usa des décoctions d'orge, gardant sa connaissance pendant tout le temps. Vers le vingt-huitième jour il mourut: des sueurs survinrent parfois.

13. (*Péripneumonie se rattachant probablement à la catégorie des affections de l'Observation 12e, quoiqu'il ne soit pas fait mention de l'état de la langue.*) Le cabaretier demeurant en dehors, affecté de péripneumonie, eut tout d'abord le flux de ventre. Le quatrième jour, sueur abondante; la fièvre paraissait cesser, la toux n'était rien, pour ainsi dire. Le cinquième, le sixième et le septième, il y eut de la fièvre. Sueur, le huitième. Le neuvième, expectoration jaune. Le dixième, déjections alvines abondantes, non fréquentes. Le onzième, état meilleur. Le quatorzième, guérison.

14. (*Voy. l'Observation* 12e.) Hermoptolème, après le coucher des Pléiades, fut pris de fièvre, il n'y avait guère de toux, mais la langue était péripneumonique. Le neuvième jour il eut une sueur générale, et, à ce qu'il paraît, il fut tout à fait frais; on lui fit prendre de la décoction d'orge passée; vers le milieu de la journée, la chaleur reprit. Le onzième, sueur; flux de ventre, déjections très-bilieuses; la toux survint. Le quatorzième, expectoration jaune; râle; et, le quinzième, il mourut, ayant gardé sa connaissance pendant tout le temps.

15. Ἕτερός [1]τις ἐπὶ τοῦ ὑπερῴου, ῥεγχώδης, γλῶσσα ξηρὴ, περιπλευμονικὴ, ἔμφρων, ἐτελεύτησεν.

16. Καὶ Ποσειδώνιος, [2]ἔτι τοῦ θέρεος ἐνισταμένου, κατὰ στῆθος καὶ ὑποχόνδρια καὶ πλευρὸν ἐπόνει χρόνον πουλὺν ἄνευ πυρετῶν· [3]πολλοῖσι δὲ ἔτεσιν ἔμπροσθεν, ἔμπυος ἐγένετο. Τοῦ δὲ χειμῶνος, φρίξαντι ἐπέτεινεν ἡ ὀδύνη, καὶ τὸ [4]πυρέτιον λεπτὸν, καὶ ἀπόχρεμψις πυώδης, βὴξ κερχαλέη περὶ φάρυγγα, καὶ ῥεγχώδης, [5]ἔμφρων δὲ ἐὼν ἐτελεύτησεν.

17. Ὁ δὲ [6]Βαλοῖος, ἐκ τοῦ ὄρεος, πάντα ἡμαρτηκὼς, ἐννεακαιδεκάτῃ γλῶσσα πονηρὴ, ὑπέρυθρος, καὶ κατὰ φωνὴν ἦν ἐν τῇ ῥέμβῃ· ὀφθαλμοὶ κεχρωσμένοι, πλέοντες ὥσπερ τῶν [7]νυσταζόντων· χρῶμα καὶ τοῦ ἄλλου σώματος οὐκ ἰκτεριῶδες σφόδρα, ἀλλ' ὕπωχρον, πελιδνόν· φωνὴ πονηρὴ, ἀσαφής· γλῶσσα [8]περιπλευμονική· οὐκ ἔμφρων· πνεῦμα πρὸς χεῖρα πονηρὸν, οὐ πυκνὸν, οὐδὲ μέγα· πόδες ψυχροὶ, λιθώδεις. Περὶ [9]εἰκοστὴν ἐτελεύτησεν.

18. [10]Κυναγχικὴ [11]ἡ παρὰ Μέτρωνι, χεῖρα δεξιὴν, σκέλος ἤλγησε, πυρέτιον ἐπεῖχε, βηχίον, πνίγμα. Τρίτῃ, ἐχάλασεν. [12]Τετάρτῃ, σπασμώδης, ἄφωνος, ῥέγχος, ὀδόντων ξυνέρεισις, γνάθων ἔρευθος. [13]Ἐτελεύτησε τῇ πέμπτῃ ἢ ἕκτῃ· σημεῖον περὶ χεῖρα [14]τὸ ὑπόπελιον.

19. Βίων ἐξ ὑδρωπικοῦ πολυχρονίου ἀπόσιτος ἐγένετο πολλὰς

[1] Δὲ pro τις D. – ὑπερόου C. – ὑπερρώου K. – περιπνευμονικὴ HK. — [2] ἐπὶ, al. manu ἔτι D. – πουλὺν χρ. C. – χροῦνον (sic) G, Ald, Frob. — [3] πολλοῖς D. – δ' C. — [4] πῦρ αἴτιον FGHIJK. — [5] ἐμφ. δὲ σφόδρα ἐὼν τεταρταῖος ἐτελ. CH. — [6] βάλεως vulg. – βάλλεος C. – βάλεος DFHIJK. – On lit dans le Gl. de Gal. : Βαλοῖος, qui ex Balœa, Βαλοίας, urbe Macedoniæ. – ὄρεος C. – ἐννεακαιδεκάτῃ CJ. – ἕκτῃ Lind. – ιθ vulg. – ὑπέρρυθρος I. – ῥέμβῃ Gl. Gal. – ῥεμβίῃ vulg. — [7] νηστ. C. – ἰκτερῶδες Lind. – ἰκτερειώδεις DGIK. — [8] περιπν. CHK. – πονηρὴν C. – Cornarius traduit : Spiritus ad manum malus ; Foes : respiratio, quæ ad manum est prava, et, dans ses notes, il dit que πρὸς χεῖρα signifie : *la respiration ordinaire*. Pour moi, je pense que l'auteur, notant que la respiration n'était ni fréquente ni grande, a voulu signaler un état de la respiration perceptible à la main, par exemple une respiration se faisant plus par les muscles costaux que par le diaphragme, etc. — [9] εἰκοστὴν Q'. – κ D. – ἐνάτην vulg. – ἐνν. Lind. – ἐν. C. – θ FGIK. – ἐτελεύτη I. — [10] κυναγχικὴ (κυαγχικὸς D) appartient à l'observation précédente dans nos mss. — [11] ὁ DK. – δεξιὴν [τε καὶ] σκ. Lind. – ἀπεῖχε, supra ἀ H. – πνιγμὸς K. – πνίγμος C. — [12] τετάρτῃ Lind. – ἑβδόμῃ vulg. – ζ

15. (*Inflammation du palais; mort; Observation très-abrégée, mais qui, d'après l'état de la langue, doit être rangée parmi les péripneumonies précédentes.* Ép. v, 105.) Un autre, ayant le palais affecté, râlait; langue sèche, péripneumonique; il mourut ayant conservé sa connaissance.

16. (*Voy l'Observation* 12ᵉ.) Posidonius, dès le milieu de l'été, souffrait, sans fièvre, d'une douleur dans la poitrine, dans les hypochondres et le côté, douleur qui se prolongea beaucoup. Plusieurs années auparavant il avait eu un empyème. Dans l'hiver, après un frisson, la douleur s'accrut; fièvre légère; expectoration purulente; toux râpeuse dans la gorge; râle; il mourut gardant sa connaissance.

17. (*Voy. l'Observation* 12ᵉ.) L'homme de Balée, qui venait de la montagne, ayant commis toute sorte d'erreurs de régime : au dix-neuvième jour, langue mauvaise, un peu rouge; peu de sûreté dans la voix; yeux brouillés, nageants, comme ceux des personnes qui s'endorment; couleur du reste du corps non pas très-ictérique, mais un peu jaune livide; voix mauvaise, indistincte, langue péripneumonique; connaissance non conservée; respiration mauvaise à la main (*Voy. note* 8), ni fréquente, ni grande; pieds froids comme le marbre. Vers le vingtième jour, il mourut.

18. (*Angine; mort.* Ép. v, 104.) La femme chez Métron, affectée d'angine, souffrit du bras droit et de la jambe; la fièvre augmenta; toux; suffocation. Le troisième jour, relâche. Le quatrième, spasme, perte de la voix, râle, grincement des dents, rougeur des joues. Elle mourut le cinquième ou le sixième; signe à la main, un peu de lividité.

19. (*Hydropisie; suppuration du genou.*) Bion, à la suite

H. – τετάρτη est une correction de Foes évidente de soi. – σπασμώδης CDHQ', Lind. – σπαρασμώδης FGIJ. – σπαργμώδης vulg. – ξυνέρυσις C. – Post ἐρ. addit πλέον C. — [13] ἐτελεύτησε πέμπτη ἕκτη C. – οὕτως οὐ πολὺ διαζήσας (αὕτη οὐ πουλὺ διαζήσασα Lind.) τῇ πέμπτῃ (ε DFHIK) ἢ ἕκτῃ ἐτελ. vulg. – La bonne leçon est celle de C.; il s'agit ici d'une femme — [14] τὸ om. C.

ἡμέρας καὶ στραγγουριώδης· ἐπὶ γούνατος ἀριστεροῦ ἀπόστημα ἐγένετο, ἐξεπύησεν, ἐτελεύτησεν.

20. [1] Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ, καὶ πρότερον ὑδρωπικὸς καὶ σπληνώδης, σφόδρα συνεπληρώθη καὶ [2] ὄσχεον καὶ σκέλεα [3] καὶ περιτόναια. Ἐπὶ τῇ τελευτῇ βὴξ καὶ πνιγμοὶ [4] ἐγένοντο, ἐς νύκτα μᾶλλον, ἀπὸ τοῦ πλεύμονος, ὥσπερ τοῖς [5] πλευμονώδεσιν. Πρὸ δὲ τῆς τελευτῆς [6] ἡμέρῃσι τρισὶν ἢ τέσσαρσι, ῥῖγος, πυρετός· κατὰ μηρὸν δεξιὸν, ἔσω κατὰ φλέβα μέσην τὴν ἀπὸ τοῦ βουβῶνος, ὡς πυρὸς ἀγρίου [7] σύστρεμμα ὑποπέλιον ἔχον ἔρευθος· ἐς νύκτα, καρδίης ἄλγος, καὶ οὐ [8] πολὺ ὕστερον ἀφωνίη, πνιγμὸς μετὰ ῥέγχους, [9] καὶ ἐτελεύτησεν.

21. Καὶ [10] ὁ ἐν Ὀλύνθῳ ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέρην, ἐτελεύτησεν.

22. [11] Ὁ δὲ Προδρόμου, θέρεος, ὑπότραυλος, καυσώδης, ἡ γλῶσσά οἱ ὑπόξηρος, ἀσαφής· κάτω πολλὴ ἄφοδος· περιεγένετο.

23. [12] Λεωφορβείδῃ, πυρετὸς ὀξὺς μετὰ χειμερινὰς τροπάς, ὑποχονδρίων [13] καὶ κατὰ κοιλίην ἄλγημα· ὑποχωρήματα ὑγρὰ, χολώδεα πουλλά· καὶ μεθ' ἡμέρην, κωματώδης· γλῶσσα περιπλευμονική· βὴξ οὐκ ἐνῆν. [14] Δωδεκάτῃ, μέλανα σμικρὰ καὶ πρασοειδέα ὑπεχώρησεν. [15] Τεσσαρεσκαιδεκάτῃ, λῆξαι πυρέτιον ἐδόκει· μετὰ δὲ, ῥοφήμασιν ἐχρήσατο. [16] Ἑκκαιδεκάτῃ, στόμα σφόδρα ἁλμῶδες, ξηρὸν ἐγένετο· ἀκρέσπερον δὲ, φρίκη, πυρετός. [17] Μιῇ καὶ εἰκοστῇ, περὶ μέσον ἡμέρης, ῥῖγος καὶ ἱδρώς· τὸ πυρέτιον ἔληξε, θέρμη δὲ ὑπῆν λεπτή· ἐς [18] νύκτα πάλιν ἱδρώς· καὶ εἰκοστῇ δευτέρῃ, ἐς νύκτα ἱδρώς·

[1] Κτησιφῶν CD, Kühn. – κτησιφῶν vulg. — [2] ὄχεον HIJ. – ἰσχίον C. — [3] καὶ om. C. – περιτοναῖα FGIJ. — [4] ἐγέν. CDK, Lind. – ἐγίν. vulg. – νύκτα bis FI – τοῦ om. D. – πνεύμ. CHK. – σπληνὸς Lind. — [5] πν. CHK. – σπληνώδεσι DQ'. – πρὸ δὲ ἡμέρης τῆς τ. vulg. – ἡμ. om. C. — [6] ἡμέρῃσι C. – ἡμ. om. vulg. – τέσσαρσι C. – τέτρασι vulg. – ῥῖγος DI, Kühn. – ῥίγος vulg. — [7] ξ. Lind. – ἔχων CDHI. — [8] πουλὺ Lind. — [9] καὶ om. Lind. — [10] ὁ Codd. – ὁ om. vulg. – ἔμφρων Ald. – νῦκτα FI. – ἡμέρην CH. – ἡμέραν vulg. [11] ἡ CFHIJK. – πρὸ δρόμου D, Ald., Frob. – θύρεος (sic) D. – οἱ om. C. – πολὺ C. — [12] λεωφορβήδει K. – λεωφορκίδῃ C. — [13] [τε] καὶ Lind. – πουλλὰ D. – πολλὰ vulg. – κωμμ. C. – περιπν. CHK. — [14] δωδεκάτῃ CFIJK. – δυοκαιδεκάτῃ Lind. – ιβ vulg. — [15] τεσσαρεσκαιδεκάτῃ CJ, Lind. – ιδ vulg. – ἐδόκει C. – ῥυφ. Codd., Ald. – ἐχρῆτο C. — [16] ἑκκαιδεκάτῃ CJ, Lind. – ις vulg. – σφόδρα om. C. – [καὶ] ξ. Lind. — [17] μιῇ Kühn. – μίῃ vulg. – μέσην (sic) K. – ῥῖγος DI, Kühn. – ῥίγος vulg. — [18] νύκτα bis I. – καὶ ..... ἱδρὼς om. C. – εἰκοστῇ δευτέρα J. – δευτέρῃ καὶ εἰκοστῇ Lind. – κβ vulg. – ἀνίδρωπος Frob. – δοκεύσῃ C. – δοκούσῃ vulg.

d'un état hydropique longtemps prolongé, perdit l'appétit pendant plusieurs jours et fut pris de strangurie; un apostème se forma au genou gauche; suppuration; mort.

20. (*Hydropisie; angioleucite; mort.*) Ctésiphon, hydropique à la suite d'un violent causus (Pronostic, 8), et précédemment affecté d'hydropisie et de maladie de la rate, eut un épanchement considérable dans les bourses, aux membres inférieurs et dans le péritoine. Vers la fin survinrent de la toux et des étouffements, la nuit de préférence, venant du poumon, comme chez les pulmoniques. Trois ou quatre jours avant la fin, frisson, fièvre; à la cuisse droite, en dedans, vers le milieu de la veine qui vient de l'aine, il se forma un engorgement comme érysipélateux, d'un rouge sublivide; dans la nuit, douleur cardialgique; peu après, perte de la voix; étouffement avec râle; mort.

21. (*Hydropisie, délire subit; mort.* Ép. v, 106.) Et à Olynthe, un hydropique perdit subitement la voix, eut le délire pendant une nuit et un jour, et mourut.

22. (*Fièvre ardente; Observation appartenant peut-être à la catégorie du* § 12.) Le garçon de Prodromus, en été, un peu bégayant, ayant une fièvre ardente; langue un peu sèche, articulant mal; déjections abondantes; guérison.

23. (*Voy. l'Observation* 12ᵉ.) Léophorbides fut affecté de fièvre aiguë après le solstice d'hiver; douleur des hypochondres et du ventre; déjections liquides, bilieuses, abondantes; pendant le jour, il avait du coma; langue péripneumonique; point de toux. Le douzième jour, il rendit des matières noires en petite quantité et porracées. Le quatorzième, la fièvre parut cesser; ensuite il prit des décoctions d'orge. Le seizième, la bouche devint très-salée, sèche; à l'approche du soir, frissonnement, fièvre. Le vingt et unième, vers le milieu du jour, frisson et sueur; la fièvre cessa; mais il subsistait un peu de chaleur; la nuit, sueur derechef. Le vingt-deuxième, dans la nuit, sueur; la chaleur disparut. Il avait été, tous les jours

καὶ ἡ θέρμη ἐχάλασεν. Τῇσι δὲ ἔμπροσθεν πάσῃσιν ἀνίδρωτος ἦν, ἡ δὲ κοιλίη ὑγράνθη, καὶ ἐν τῇ ὕστερον δοκεύσῃ ὑποστροφῇ.

24. Ἡ ἄνω οἰκοῦσα ἡ [1] τῷ [2] Θεοκλεῖ προσήκουσα, ὑπὸ πληϊάδα, πυρετὸς ὀξύς. [3] Ἕκτῃ, ἐδόκει λῆξαι· ἐλούσατο ὡς πεπαυμένη. [4] Ἑβδόμῃ πρωῒ, γνάθος σφόδρα ἐρυθρὴ, ὁποτέρη [5] οὐ μέμνημαι· ἐς τὴν ἑσπέρην ὁ πυρετὸς ἦλθε πουλύς· καὶ [6] λειποψυχίη, καὶ ἀφωνίη ἦν· οὐ πολὺ δὲ ὕστερον ἱδρὼς, καὶ παῦσις ἑβδομαίη.

25. Καὶ ἡ Θεοδώρου σφόδρα ἐν πυρετῷ, αἱμοῤῥαγίης [7] γενομένης, χειμῶνος· λήξαντος δὲ τοῦ πυρετοῦ περὶ [8] δευτέρην, οὐ πολὺ ὕστερον, πλευροῦ δεξιοῦ ὡς ἀπὸ [9] ὑστερέων βάρος· καὶ πρῶτον δὲ ἐγεγόνει, καὶ τὰς ἐχομένας ἡ ὀδύνη κατὰ στῆθος δεινή· καὶ πλευρὸν δεξιὸν πυριωμένη, ἐχάλασεν. Τεταρταίῃ, τὰ ἀλγήματα· τὸ [10] πνεῦμα, πυκνότερον· ἡ ἀρτηρίη μόλις ἀναπνεούσῃ ὑποσύριζεν· κλισίη ὑπτίη, ἐπιστρέφεσθαι χαλεπῶς· ἐς νύκτα ὀξύτερος ὁ πυρετὸς, καὶ λῆρος βραχὺς ἐγένετο. [11] Πέμπτῃ πρωῒ, ἐδόκει ἠπιώτερος εἶναι· ἱδρώτιον ἀπὸ μετώπου κατεχύθη ὀλίγον [12] πρῶτον, ἔπειτα πουλὺν χρόνον ἐς ὅλον τὸ σῶμα καὶ πόδας· μετὰ δὲ ταῦτα ἐδόκει αὐτῇ κεχαλακέναι τὸ πῦρ· ἦν δὲ πρὸς χεῖρα ψυχρότερον τὸ [13] σῶμα· αἱ δὲ ἐν κροτάφοισι καὶ μᾶλλον ἐπήδων, καὶ πνεῦμα πυκνότερον, καὶ [14] ὑπελήρει ἄλλοτε καὶ ἄλλοτε, καὶ πάντα ἐπὶ τὸ χεῖρον. Γλῶσσα διὰ τέλεος λευκὴ λίην· ἥ τε βὴξ οὐκ ἐνῆν, ὅτι μὴ τριταίῃ καὶ πεμπταίῃ ὀλίγον χρόνον· δίψα οὐκ ἐνῆν, πτυσμὸς δὲ ἦν· ὑποχόνδριον δεξιὸν σφόδρα ἐπῆρτο [15] περὶ τὴν πέμπτην, μετὰ δὲ μαλθα-

[1] Τῷ C. — [2] θεώκλη vulg. – θεόκλη Codd. (H, θεόκλει) Ald., Frob. — [3] ἕκτῃ CJ, Lind. – ς' vulg. — [4] ζ H. — [5] ὁμοῦ (D, οὐ al. manu) FGIJK. – ἐς τὴν ἑσπέρην Codd. Q', Lind. – ἐν τῇ ἑσπέρῃ vulg. – ἧκε C. — [6] λειπ. DJ, Lind. – λιπ. vulg. – πουλὺ Lind. – δ' C. – παύσις (sic) F. — [7] γιν. C. — [8] ἐνάτην J. – ἐνν. C. – θ vulg. – δευτέρην Lind. – Post ἐν. repetit λήξαντος δὲ τοῦ πυρετοῦ C. – δευτέρην est une correction de Foes, suggérée par la mention qui suit du quatrième, du cinquième, etc., jours. — [9] ὑστεραίων C. – δὲ om. C. – τότε pro δὲ Lind. — [10] τὸ [δὲ] Lind. – [καὶ] ἡ Lind. – ἡ om. (C, in marg. ἡ) FGHIJK. – ἀρτυρίη K. – ἀρτηρίου (sic) C. – μόγις H. – κλισίη C. – καὶ pro κλ. vulg. – νύκτα FI. — [11] ε H. – ἠπ. CDHJ. – ὑπτιωτέρη (sic) K. – ὑπιότερος I. – ἠπιότερος (sic) Ald., Frob. — [12] πρότερον J. – πουλὺν CDH, Lind. – πολὺν vulg. — [13] Post σ. addit ταῖς ἀρτηρίαις vulg. – τ. ἀρτ. om., in marg. al. manu τῇσιν ἀρτηρίῃσιν C. – Il faut sous-entendre φλέβες avec αἱ, et supprimer avec C ταῖς ἀρτηρ. qui est sans doute une glose destinée à expliquer cet αἱ sans substantif. — [14] ὑπ.

précédents, sans sueur ; mais le ventre s'était relâché, même dans ce qui parut une récidive.

24. (*Fièvre pseudo-continue.*) La femme demeurant en haut, qui appartenait à Théoclès, fut prise, les Pléiades étant sur l'horizon, d'une fièvre aiguë. Le sixième jour, la fièvre parut cesser; la malade prit un bain comme étant guérie. Le septième, au matin, joue très-rouge, de quel côté, je ne m'en souviens pas; le soir il vint beaucoup de fièvre; il y avait défaillance et perte de la parole; peu après, sueur, et le septième, guérison.

25. (*Fièvre pseudo-continue avec tendance à l'état algide.*) Et la femme de Théodore fut prise d'une fièvre violente à la suite d'une hémorrhagie, en hiver; la fièvre ayant cessé vers le deuxième, elle éprouva peu après, dans le côté droit, une pesanteur qui semblait venir de la matrice; cette pesanteur se faisait sentir pour la première fois; les jours suivants, douleur intense dans la poitrine; des fomentations sur le côté droit soulagèrent (*Du régime dans les maladies aiguës*, § 7). Le quatrième, les douleurs revinrent; respiration, plus fréquente; la trachée-artère, dans l'inspiration, qui était difficile, sifflait un peu; décubitus sur le dos; difficulté à se tourner; dans la nuit la fièvre devint plus aiguë, et il y eut un peu de délire. Le cinquième, au matin, la fièvre parut plus modérée; de la sueur se répandit d'abord en petite quantité, puis pendant longtemps, du front au corps entier et aux pieds. Après cela, la fièvre parut avoir cessé; le corps, à la main, était plus frais; mais les veines aux tempes battaient, et même davantage; respiration plus fréquente; de temps à autre un peu de délire; et tous les accidents aggravés. La langue fut, tout le temps, très-blanche ; il n'y eut pas de toux, si ce n'est le troisième et le cinquième jour pendant peu de temps; la malade n'avait pas de soif; sputation; l'hypochondre droit se gonfla beaucoup vers le cinquième jour; mais ensuite il fut plus souple; un

CH. – ἐπ. vulg. – πάντ' C. – δι[illegible]λεος DFHIJK. – δίψα FI. – δὲ om. C. – ἐπήρθη C. – αἰπύτε (sic) K. – ἐπῆτο (sic) FIJ. — [18] παρὰ J. – τὴν om. C. – πέμπτην C, Lind – ε vulg. – βαλανείου Codd. (D, emend. al. manu).

κώτερον· ὑποχώρησις τριταίῃ ἀπὸ βαλάνου κόπρου ὀλίγης, [1] πέμπτῃ πάλιν ὑγρὸν ὀλίγον· κοιλίη δὲ λαπαρή· οὖρα στρυφνά, [2] ὁποειδέα· ὄμματα ὡς κοπιώσης, χαλεπῶς ἀνέβλεπε καὶ περιέφερεν. [3] Πέμπτῃ, ἐς νύκτα χαλεπῶς, καὶ λῆρος εἵπετο. [4] Ἕκτῃ, πάλιν τὴν αὐτὴν ὥρην περὶ πλήθουσαν ἀγορήν, ἱδρὼς πουλὺς [5] κατεχεῖτο, ἀπὸ μετώπου ἤρχετο ἐς ὅλον τὸ σῶμα πουλὺν χρόνον· [6] ἐμφρόνως διετίθετο τὰ ἑαυτῆς· πρὸς μέσον δὲ ἡμέρης, σφόδρα ἐλήρει, καὶ τὰ τῆς καταψύξιος ὅμοια, βαρύτερα δὲ τὰ κατὰ τὸν χρῶτα πάντα· πρὸς δὲ τὴν ἑσπέρην, ἡ κνήμη αὐτῆς ἐκ τῆς [7] κλίνης κατερρύη, καὶ τῷ παιδὶ παραλόγως ἠπείλησέ τε καὶ πάλιν ἐσιώπησε, καὶ ἐς ἡσυχίην μετέβαλεν· περὶ δὲ τὸν πρῶτον ὕπνον, [8] δίψα πουλλή, καὶ μανίη, καὶ ἀνεκάθιζε, καὶ τοῖσι παροῦσιν ἐλοιδορεῖτο, καὶ πάλιν ἀπεσιώπησε καὶ ἐν ἡσυχίῃ ἦν· καὶ ἐδόκει τὴν ἐπίλοιπον [9] νύκτα κεκωματίσθαι· τοὺς δὲ ὀφθαλμοὺς οὐ ξυνῆγεν. Ἐπὶ δ' ἡμέρην ὑπεκρίνετο τὰ πλεῖστα νεύμασιν, ἀτρεμίζουσα τὸ σῶμα, καὶ κατανοοῦσα ἐπιεικῶς· πάλιν δὲ ἱδρὼς τὴν αὐτὴν ὥρην· ὁμοίως οἱ ὀφθαλμοὶ κατηφέες, ἐς τὸ κάτω βλέφαρον μᾶλλον ἐγκείμενοι, ἀτενίζοντες, [10] κεχαρωμένοι, τὰ λευκὰ τῶν ὀφθαλμῶν ὠχρὰ καὶ νεκρώδεα, [11] καὶ τὸ πᾶν χρῶμα ὠχρὸν καὶ [12] μελανέον· τῇ χειρὶ τὰ πουλλὰ πρὸς τοῖχον ἢ πρὸς ἱμάτιον· οἱ ψόφοι [13] δὲ πινούσῃ ἐγίνοντο, ἀπεπύτιζε καὶ ἄνω ἐς τὴν [14] ῥῖνα, καὶ [15] ἐκροκυδολόγει, καὶ ξυνεκάλυπτε τὸ πρόσωπον· μετὰ δὲ τὸν ἱδρῶτα, χεῖρες ὥσπερ [16] κρυστάλλιναι· ὁ ἱδρὼς παρηκολούθει ψυχρός· σῶμα πρὸς χεῖρα ψυχρόν· ἀνεπήδα, [17] ἀνεκεκράγει, ἐμαίνετο· πνεῦμα πουλύ· [18] τρομώδεες αἱ χεῖρες ἐγένοντο, ὑπὸ δὲ τὸν θάνατον ἐλθούσῃ σπασμώ-

[1] Ε DK. – λαπαρὰ D. — [2] ὀπ. C. – κοπιώδης K. — [3] ε D. – νύκτα FI. – εἶπ. om. C. — [4] ἕκτη CJ, Lind. – ς vulg. — [5] (οὐ C) κατείχετο vulg. – Il n'est pas douteux qu'il faut lire κατεχεῖτο, comme plus haut κατεχύθη ; Foes parle de cette correction dans ses notes. – ἐς CK, Lind. – εἰς vulg. — [6] ἀφρ., in marg. ἐμφρ. C. – δ' C. — [7] κλίνης CH. – κοιλίης vulg. – κοιλίας G. – κοίτης Lind. – ἡσιχίην C. – μετέβαλε CK, Kühn. – μετέβαλλε vulg. — [8] δῖψα F. – πολλὴ CD, Lind. – καὶ om. C. — [9] νύκτα FG. – κεκωμμ. C. – τοὺς .... δεξιὰ p. 404, l. 1, ponitur post χαλεπῶς p. 410, l. 7, J. – δ' C. — [10] κεχαρωμένοι Lind. – κεκαρωμένῳ vulg. — [11] καὶ om. C. — [12] καὶ τὸ C. – μέλαν ἐὸν vulg. – ταπολλὰ D. – πολλὰ CH, Lind. – πουλὰ Ald. — [13] δὲ om. C. – Post πιν. addit μεγάλοι vulg. – μεγ. om., restit. in marg. al. manu C. – ἀπεπύτιζε C. – ἀποπύτιζε vulg. – καὶ ἀποπ. ἄνω Lind. – εἰς K. — [14] ῥῖνα CDIJK, Kühn. – ῥίνα vulg. – Post ῥ. addunt ἀφώρει (ἀφόρει DFHIJK ; ἠφύσσει Lind.) vulg. – ἀφ. om. C. — [15] ἐκροκυδολόγει Codd. (C, ἐκροκοδο-

suppositoire amena le troisième jour un peu d'excréments solides, le cinquième un peu d'excréments liquides; mais le ventre était souple; urines de nature astringente et semblables à du suc de silphium; regards comme ceux d'une personne fatiguée, avec peine elle levait et tournait les yeux. Le cinquième, nuit mauvaise; délire. Le sixième, derechef, à la même heure, c'est-à-dire à l'heure où le marché est plein, il y eut une sueur abondante, commençant au front, elle se répandit dans tout le corps et dura longtemps; la malade s'occupait avec une pleine connaissance de ses affaires; vers le milieu du jour elle eut beaucoup de délire, le refroidissement était semblable, tous les symptômes du côté du corps étaient plus graves; vers le soir elle laissa tomber sa jambe hors du lit, elle menaça sans raison son enfant, emportement auquel succédèrent le silence et une alternative de calme; vers le premier sommeil, soif intense, état maniaque, elle se mettait sur son séant, injuriait les assistants, puis se taisait et se tenait tranquille; elle parut être dans le coma le reste de la nuit, mais elle ne ferma pas les yeux. Au jour, elle répondait presque constamment par des signes de tête, demeurant immobile et ayant passablement sa connaissance; derechef, sueur, à la même heure: semblablement, yeux abattus, enfoncés vers la paupière inférieure, fixes et comme dans le carus; le blanc de l'œil, jaune, cadavéreux; et la coloration de tout le corps, jaune et noirâtre; elle portait presque constamment la main vers la muraille, ou vers sa couverture; les liquides qu'elle buvait descendaient avec bruit, une portion même retournait par les narines; elle avait de la carphologie, et se cachait le visage; depuis la sueur, les mains comme du marbre; la sueur continua froide; le corps, froid à la main; elle sautait, criait, avait le transport; respiration très-fréquente; les mains devinrent tremblantes, et, à l'ap-

λόγει). – ἐκροκιδολόγει vulg. – ξυνεκαλύπτετο sine τὸ C. — [16] κρυστάλλιναι C. — [17] ἐκεκράγει C. – ἀνεκράτει, emend. al. manu D. — [18] τρομώδεις χεῖρας ἐγένετο· ὑ. δ. τ. θ., σπασμώδης C. – ἐγένετο FGHIJ. – σπασμώδης DFHIK.

δεες. [1]Ἑβδομαίη ἐτελεύτησεν. Οὔρησε τῇ ἕκτῃ ἐν νυκτὶ ὀλίγον· τὸ οὐρούμενον τῷ κάρφει εἵλκετο, γλίσχρον, γονοειδές· ἄγρυπνος ἀπάσας· μετὰ [2]τὴν ἕκτην οὖρον ὕφαιμον.

26. Τῷ Ἀντιφάνους, χειμῶνος, ἄλγημα πλευροῦ δεξιοῦ, βὴξ, πυρετός· [3]ἤσθιεν, ἐπορεύετο [4]ὑποπυρεταίνων, ἐδόκει ῥηγματώδης εἶναι. Ἐνάτῃ, ἀφίετο ὁ πυρετὸς, οὐχ [5]ἔλειπεν· ἡ βὴξ πολλὴ, καὶ παχέα ἀφρώδεα· τὸ πλευρὸν ἐπόνει. Περὶ τὴν τεσσαρεσκαιδεκάτην καὶ πάλιν τὴν [6]εἰκοστὴν ἐδόκεον ἀπολήγειν οἱ πυρετοὶ, καὶ πάλιν [7]ἐπελάμβανον· ἦν δὲ λεπτὴ θέρμη, καὶ βραχύ τι ἐξέλειπεν· [8]ἡ δὲ βὴξ ὁτὲ μὲν ἐξέλειπε, ὁτὲ δὲ κατακορὴς ἦν μετὰ πνίγματος πολλοῦ, [9]ὁτὲ δὲ ἐχάλα· καὶ ἀπόχρεμψις μετὰ ταύτας τὰς ἡμέρας πολλὴ μετὰ πνιγμώδους βηχὸς, καὶ πυώδεα ζέοντα ὑπὲρ τοῦ ἀγγείου καὶ ἀφρέοντα· καὶ ἐν τῇ φάρυγγι [10]τὰ πολλὰ κερχαλέα ὑπεσύριζεν· [11]ἆσθμα αἰεὶ κατεῖχε, καὶ πνεῦμα πυκνότερον, ὀλιγάκις εὔπνοος. Ὑπὲρ δὲ τὰς τεσσαράκοντα, ἔγγυς οἶμαι τῶν [12]ἑξήκοντα, ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη μετὰ οἰδήματος ἄνευ ὀδύνης, οὐ πολὺ δ' ὕστερον καὶ ὁ δεξιός· καὶ σφόδρα αἱ κόραι λευκαὶ καὶ ξηραὶ ἐγένοντο· [13]καὶ ἐτελεύτησε μετὰ τὴν τύφλωσιν οὐ πουλὺ ὑπὲρ ἑπτὰ ἡμέρας μετὰ ῥέγχου καὶ πολλῆς ληρήσιος.

27. Ὅμοια δὲ καὶ ἐξ ὁμοίων τὴν ὥρην τὴν αὐτὴν ξυνέβη Θεσσαλίωνι, τὰ [14]ζέοντα καὶ ἀφρέοντα καὶ πυώδεα, καὶ βῆχες, καὶ οἱ κερχμοί.

[1] Ἑβδομαῖος C. – ἐνούρησε vulg. – ἐν est dû à la répétition de la finale du mot précédent. – ς DFHK. — [2] δὲ τὴν CK. – ἕκτην CJ, Lind. – ς vulg. —[3] ἤσθιεν .... πυρετὸς om. (D, restit. al. manu) FGIJK. — [4] ὑποπυρεταίνων CDH, Ald., Kühn. – ὑποπυρεττ. vulg. – ἐδόκει H. – ῥευματώδης Lind. – ἐννάτῃ Lind. – ἐνάτῳ vulg. – ἐννάτω CDH. – ἀφίετο H, Lind. – ἀφῖκτο C. – ἀφίητο vulg. – κατελίποιτο (sic) pro ἀφ. D. – κατελίπετο Q'. — [5] ἔλειπεν D. – ἔλιπεν vulg. – παχέα C. – παχεῖα vulg. – παχεία IK. – παχείη H. – τεσσαρεσκαιδεκάτην CDJ, Lind. – ιδ vulg. — [6] εἰκοστὴν CJ, Lind. – κ vulg. — [7] ὑπ. CK. – ἀπ. D. – λεπτὴ (λεπτὸς K) καὶ (καὶ om. C) θερμὴ (θέρμη, mut. in θερμὴ C) βρ. (θέρμη λεπτὴ καὶ βρ. Lind.) τι ἐξέλιπεν (ἐξέλειπεν D) vulg. — [8] ἡ ..... ἐξέλειπε om. C. – ἐξέλειπε D. – ἐξέλιπε vulg. – ἦν om. Codd. — [9] ὁτὲ D. – τότε vulg. – ταῦτα sine τὰς ἡμ. C. – ἡμ. om. restit. al. manu D. — [10] ταπολλὰ D. – ὑπεσύριζεν CHQ'. – ὑπεσύριξεν vulg. – ὑπεσύρριξεν FGJ, Ald., Frob. — [11] ἄσθ. CFGHIK, Ald., Frob. – αἰεὶ Codd., Ald., Lind. – ἀεὶ vulg. – ὀλιγάκις ..... ἑξήκοντα om. K. – τεσσαράκοντα CJ, Lind.

proche de la mort, furent saisies de convulsions. Elle mourut le septième jour. Le sixième, dans la nuit, elle avait un peu uriné; l'urine rendue adhérait à un chalumeau de paille, était visqueuse, d'apparence spermatique; l'insomnie avait été perpétuelle; après le sixième jour, l'urine, un peu sanguinolente.

26. (*Empyème ; expectoration particulière ; perte de la vue ; mort.*) Le garçon d'Antiphane, en hiver, fut pris d'une douleur du côté droit ; toux, fièvre ; il mangeait, il marchait ayant un peu de fièvre ; il semblait affecté d'une rupture (*Voy.* Ép. IV, 3, *et* l'Argument des Coaques). Le neuvième jour, la fièvre se relâcha, sans cesser tout à fait; beaucoup de toux, expectoration épaisse, écumeuse ; souffrance dans la poitrine. Vers le quatorzième, et derechef vers le vingtième, la fièvre parut tomber, puis elle reprit; c'était une chaleur légère, qui disparaissait pour très-peu de temps; quant à la toux, tantôt elle cessait complétement, tantôt elle était intense avec beaucoup de suffocation, tantôt elle diminuait seulement; expectoration, après ces jours, abondante, avec une toux suffocante; matières expectorées, purulentes, bouillonnant au dessus du vase et écumeuses ; presque constamment il y avait dans la gorge un sifflement rauque ; la dyspnée était continuelle, la respiration accélérée, rarement il y avait des moments de bonne respiration. Passé quarante jours, vers les soixante, je pense, l'œil gauche perdit la vue avec un gonflement indolent, et peu après l'œil droit; les pupilles devinrent très-blanches et très-sèches; et le malade mourut, n'ayant survécu guère que sept jours à la perte de la vue, avec du râle et beaucoup de délire.

27. (*Empyème; expectoration particulière.*) A la même époque, des symptômes semblables nés de circonstances semblables, se montrèrent chez Thessalion : l'expectoration bouillonnante, écumeuse, purulente, la toux et le bruit râpeux dans la gorge.

– μ vulg. — [12] ξ H. – πουλὺ Lind. – δὲ CJ. — [13] καὶ om. C. – πουλὺ H, Lind. – πολὺ vulg. – ἑπτὰ CDFHIJ, Lind. – ζ vulg. – ῥέγχους D. – πολλῆς om. C. – πληρὴς pro πολ. DFGIJK. — [14] ζόοντα (sic) F. – ζώοντα J.

28. [1] Τῇ Πολεμάρχου, χειμῶνος, κυναγχικῇ, οἴδημα ὑπὸ τὸν [2] βρόγχον, πουλὺς πυρετός· [3] φλέβα ἐτμήθη· ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος· ὁ πυρετὸς παρείπετο. Περὶ [4] πέμπτην, γούνατος ἄλγημα καὶ οἴδημα ἀριστεροῦ· καὶ κατὰ τὴν καρδίην ἔφη δοκεῖν τι ξυνάγεσθαι ἑωυτῇ, καὶ [5] ἀνέπνει οἷον ἐκ τοῦ βεβαπτίσθαι ἀναπνέουσι, καὶ [6] ἐκ τοῦ στήθεος ὑπεψόφει, ὡς αἱ [7] ἐγγαστρίμυθοι λεγόμεναι, τοιοῦτόν τι ξυνέβαινεν. Περὶ τὴν ὀγδόην ἢ ἐνάτην ἐς νύκτα κοιλίη κατεῤῥάγη· ὑγρὰ, [8] πουλλὰ, ἅλεα, καὶ κάκοδμα· ἀφωνίη ἔσχεν· ἐτελεύτησεν.

29. [9] Ἀρίστιππος ἐς τὴν κοιλίην τοξευθεὶς [10] ἄνω βίῃ χαλεπῶς· ἄλγος κοιλίης δεινόν· ἐπίμπρατο ταχέως· κάτω δὲ οὐδὲν διεχώρεεν· ἀσώδης ἦν· [11] ἤμεε χολώδεα καταχορέα· ὁπότε δὴ ἀπεμέσειεν, ἐδόκει ῥάων εἶναι· μετ' ὀλίγον δὲ τὰ ἀλγήματα [12] πάλιν δεινά· καὶ ἡ κοιλίη ὁμοίως ἐπίμπρατο ὡς ἐν εἰλεοῖς· θέρμαι [13] καὶ δίψαι· ἐν ἑπτὰ ἡμέραις ἐτελεύτησεν.

30. Ὁ δὲ Νεόπολις, πληγεὶς ὁμοίως, [14] ταὐτὰ ἔπασχεν· κλυσθέντι δὲ δριμεῖ ἡ κοιλίη κατεῤῥάγη· χρῶμα [15] κατεχύθη λεπτὸν, ὠχρὸν, [16] μελανέον· ὄμματα αὐχμηρὰ, καρώδεα, ἐνδεδινημένα, ἀτενίζοντα.

31. Τῷ δὲ καθ' ἧπαρ ἐγγὺς πληγέντι ἀκοντίῳ, [17] εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες· τὰ ὄμματα κοῖλα· [18] ἀλυσμός· δυσφορίη· ἀπέθανε πρὶν ἀγορὴν λυθῆναι, [19] ἐν ᾗπερ ἡμέρῃ ἐπλήγη.

32. [20] Ὁ τὴν κεφαλὴν ὑπὸ Μακεδόνος λίθῳ πληγεὶς, ὑπὲρ κρο-

[1] Τῇ Π. χ. κυναγχικῇ CFGHIJK, Ald. – ἡ Π. χ. κυναγχικὴ vulg. — [2] βρόχον C. — [3] φλέβα ..... πυρετὸς om. C. – παρήπετο Ald., Frob. — [4] ε K. – καρδίαν K. — [5] ἀνέπλει H. – ἀναπνέουσι Lind. – ἀναπνεούσῃ vulg. — [6] ἀπὸ Q'. — [7] ἐγγ. C. – τοιοῦτο C. – περὶ δὲ C. – ὀγδόην ἢ ἐνάτην J (ἐνν. C, Lind.). – η ἢ (καὶ K) θ vulg. — [8] πουλλὰ DH. – πολλὰ vulg. – Ante ἅλ. addit καὶ C. – ἅλ. om. FG (H, restit. in marg.) IJK. – ἔσχεν om. C. — [9] Ἀρίστιππος ...... ἐτελεύτησεν om., restit. al. manu D. – τοξευθεὶς ἐς τὴν κ., βίῃ δεινῶς ἄνω, ὀδύνη κοιλ. χαλεπή· ὠκέως ἐμπίπρατο· οὐδὲν δὲ κάτω D. – ἐτοξεύθη C. — [10] βοῇ δεινῶς· ἄνω ὀδύνη κοιλίης χαλεπὴ, ὠκέως ἐμπίπρατο Foes in notis. – ἐπίμπρατο (C, cum καὶ ante ἐπ.), Lind. – ἐμπίπρατο vulg – ἐμπιπρᾶτο H. — [11] ἤμει C. – ἡμιχολώδεα (sic) FGHIJK, Ald. – καταχορέα χολ. ἤμεε, ῥάων δὲ ἐδ. ὁκόταν ἀπέμετε (sic)· οὐ μεταπουλὺ δὲ τὰ ἀλγ. αὖθις χαλεπὰ D. – κατακόρεα C. – δὴ om. C. – δὲ Lind. – ἀπεμέσειεν CFGHJK. – ἀπέμεσεν (sic) vulg. – ἐπήμεσεν Lind. – ῥᾶον C. — [12] αὖθις χαλεπὰ Q'. – ἐπίμπρατο C, Lind. – ἐμπιπρᾶτο vulg. – εἰλεοῖς Ald., Frob. – ἰλεοῖς C. – εἰλέοις G. — [13] καὶ om. C. – δῖψαι FI. – ζ D. — [14] ταὐτὰ DFIK, Lind. – ταῦτα vulg. – δριμεῖ ἡ κ. C.

28. (*Angine, saignée, mort.* Ép. v, 63.) Chez la femme de Polémarque, prise d'angine, en hiver, gonflement sous la gorge, beaucoup de fièvre; la veine fut ouverte; l'étouffement provenant de la gorge cessa; la fièvre persista. Vers le cinquième jour, douleur et gonflement du genou gauche; il lui semblait, disait-elle, que quelque chose s'amassait sur son cœur, elle respirait comme respirent les plongeurs sortant de l'eau; du bruit venait de sa poitrine comme chez les femmes appelées ventriloques; voilà ce qui arrivait. Vers le huitième ou le neuvième, dans la nuit, le ventre fit éruption; déjections liquides, abondantes, répétées, fétides; perte de la voix; elle mourut.

29. (*Plaie pénétrante de l'abdomen, mort.* Ép. v, 98.) Aristippe reçut dans le ventre, en haut, un coup de flèche violent et dangereux; douleur intense du ventre; bientôt il y eut inflammation. Il n'allait point par le bas; haut-le-cœur; il vomissait de la bile foncée; et après le vomissement il paraissait plus à l'aise; mais bientôt, derechef, douleurs violentes; le ventre s'enflamma comme dans l'iléus; chaleur et soif; il mourut dans les sept jours.

30. (*Plaie pénétrante de l'abdomen.* Ép. v, 99.) Néopolis, blessé semblablement, souffrait les mêmes accidents; après un lavement âcre, il y eut des déjections alvines; il se répandit sur lui une teinte légère, jaune, tirant sur le noir; yeux secs, somnolents, roulants, fixes.

31. (*Plaie du foie; mort.* Ép. v, 62.) Chez l'individu blessé de près d'un javelot au foie, se répandit aussitôt la couleur cadavéreuse; yeux creux, jactitation, malaise; il mourut avant la fin du marché, le jour même où il fut blessé.

32. (*Plaie de tête, mort.* Ép. v, 60.) L'individu blessé à la tête d'un coup de pierre par un Macédonien, offrit, au-dessus

– δριμεῖη (δριμεῖ HK; ἐν δριμεῖ Lind.) κ. vulg. — [15] κατεχύθη Codd., Ald. – κατεχύθη vulg. — [16] μέλαν ἐὸν vulg. — [17] εὐθὺ C. — [18] ἀλ. C. – ἀλισμὸς FG. — [19] ἅμ' ἡμέρῃ πληγεὶς C. — [20] Ante ὁ addunt ἐπὶ τὸν μακεδονικὸν CHI. – ὑπὸ Lind. – ἀπὸ vulg. – διακοπὴ D.

τάφου ἀριστεροῦ ὅσην ἀμυχὴν διεκόπη· ἐσκοτώθη πληγεὶς, καὶ ἔπεσεν. Τριταῖος ἄφωνος ἦν· [1] ἀλυσμός· πυρετὸς οὐ πάνυ σφοδρός· σφυγμὸς ἐν κροτάφοισιν, ὡς λεπτῆς θέρμης· ἤκουεν οὐδὲν, [2] οὐδὲ ἐφρόνεεν, οὐδ' ἠτρέμιζεν· νοτὶς περὶ μέτωπον καὶ ὑπὸ ῥῖνα ἄχρις ἀνθερεῶνος· πεμπταῖος ἐτελεύτησεν.

33. Ὁ [3] Αἰνιήτης ἐν Δήλῳ ἀκοντίῳ πληγεὶς ἐς τοὔπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, τὸ μὲν ἕλκος, ἄπονον· τριταίῳ δὲ γαστρὸς ὀδύνη [4] σμικρή· οὐχ ὑπεχώρει· κλυσθέντι δὲ ἐς νύκτα κόπρος ἦν, καὶ ὁ πόνος διέλειπεν. Ἔδρη ἔξω ἐς [5] τὰς ἰξύας τεταρταίῳ, καὶ ἐς ἥβην καὶ κοιλίην ὅλην δεινῶς ὁ πόνος καταιγίζων· ἀτρεμέειν οὐκ ἠδύνατο· χολώδεα [6] ἤμεσε κατακορέα· χλοώδεες [7] ὀφθαλμοὶ, καὶ οἷοι τῶν λειποθυμεόντων. Μετὰ πέμπτην ἐτελεύτησεν· θέρμη λεπτή τις ἐνῆν αὐτῷ.

34. [8] Αὐδέλλῳ πληγέντι ἐς τὸν νῶτον, πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρει, καὶ ἡμοῤῥάγει· τῷ ἐναίμῳ δὲ καταδεθεὶς, ὑγιὴς ἐγένετο· [9] ξυνέβη δὲ καὶ τῷ Δυσχύτᾳ.

35. Τῷ Φιλίας παιδίῳ, ψιλώματος ἐν [10] τῷ μετώπῳ γενομένου, [11] ἐναταίῳ πυρετός· εἶτα ἐπελιάνθη τὸ ὀστέον· ἐτελεύτησεν. Καὶ τῷ Φανίου καὶ τῷ Εὐέργου· πελιαινομένων δὲ τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίστατο τὸ δέρμα ἀπὸ τοῦ ὀστέου, καὶ [12] πῦον ὑπεμένετο· τούτοισι τρυπωμένοισιν ἐξ αὐτοῦ τοῦ ὀστέου ἀνήρχετο ἰχὼρ λεπτὸς, ὀῤῥώδης, ὕπωχρος, κάκοδμος, θανάσιμος. [13] Ξυμβαίνει δὲ τοῖσι τοιούτοισι, καὶ ἐμέτους ἐπιγίνεσθαι καὶ τὰ σπασμώδεα ἐπὶ τελευτῇ, καὶ ἐνίους κλαγγώδεας εἶναι, καὶ [14] ἐνίους ἀκρατέας, καὶ [15] ἢν μὲν ἐν τοῖσι δεξιοῖσι τὸ τρῶμα [16] ᾖ, τὰ ἀριστερά· [17] ἢν δ' ἐν

[1] Ἀλ. D. – ὁ pour οὐ dans Foes, par une faute d'impression répétée dans Lind. et Kühn. – σφιγμὸς FGIK. – κροτάφοις C. — [2] οὐδ' CH. – ὅστις pro νοτὶς Codd., Ald., Frob. – ῥῖνα CD, Kühn. – ῥίνα vulg – ἄχρι C. — [3] αἰνιάτης Lind. – γενειήτης C. – γενεήτης H. – γενιήτης I, Ald., Frob. – γενηίτης DFGJK. — [4] μ. C. – κόπρος ἐς ν. ἦν sine δὲ C. – νύκτα F. – καὶ om. C. – διέλειπεν D. – διέλιπεν vulg. – διαλιπὼν C. — [5] τὰς (τοὺς Codd.) ὄρχιας (ὄρχεας C; ὄσχιας DFGHIJK, Ald., Frob.) vulg. – καὶ [ἐς] κοιλ. Lind. — [6] ἤμ. Codd., Ald. – ἔμ. vulg. – κατακόρεα C. – χλοώδεες CIJK, Ald. – χολώδεες vulg. — [7] οἱ ὀφθ. C. – οἷον DQ'. – οἷσι pro οἷοι Lind. – λειπ. DHJ, Lind. – λιπ. vulg. – λειπεοθυμεόντων C. – πέμπτην CDJ, Lind. – ε vulg. – πλὴν θέρμη vulg. – πλὴν om., restit. in marg. al. manu C. – αὐτῷ om. C. — [8] αὐδέλω C. – ἀβδέλλω H. – αὐδέλλω DQ'. – οὐδέλλω G. – Je ne sais comment restituer ce nom propre, qui est écrit βίλλῳ, Ép. v. – τραῦμα DQ'. – ψόφου Lind. – φόβου vulg. – ἐς

de la tempe gauche, une incision qui semblait une égratignure. Le coup lui causa un obscurcissement de la vue, et il tomba. Le troisième jour, il avait perdu la voix ; jactitation, fièvre pas très-forte ; battements dans les tempes proportionnés au peu d'intensité de la chaleur ; il n'entendait absolument rien, il n'avait pas sa raison et était agité ; moiteur autour du front, au nez, jusqu'au cou. Le cinquième jour, il mourut.

33. (*Plaie pénétrante de l'abdomen ; mort.* Ép. v, 61.) L'homme d'Ænos, blessé, à Délos, d'un javelot dans le côté en arrière à gauche, ne souffrait point dans la plaie. Le troisième jour, douleur faible du ventre ; il n'allait point à la selle ; un lavement amena des excréments dans la nuit ; la douleur cessa. Douleur siégeant en dehors aux lombes le quatrième jour, et envahissant avec violence le pubis et le ventre entier ; il ne pouvait rester en place ; il vomit des matières bilieuses foncées ; les yeux verdâtres et comme chez ceux qui s'évanouissent. Il mourut après cinq jours ; il y avait eu une légère chaleur.

34. (*Plaie pénétrante de poitrine ; guérison.* Ép. v, 96.) Audellus ayant été blessé dans le dos, beaucoup d'air sortait avec bruit par la plaie ; hémorrhagie ; pansé avec le médicament enhème, il guérit ; il en arriva autant à Dyschytas.

35. (*Dénudation des os du crâne, nécrose, accidents divers.* Ép. v, 97.) L'enfant de Philie, portant au front une dénudation de l'os, eut de la fièvre le neuvième jour ; puis l'os devint livide ; il succomba. Il en fut de même chez l'enfant de Phanias, et chez celui d'Évergus ; les os devenant livides et la fièvre s'établissant, la peau se détacha de l'os, et le pus séjournait ; la trépanation ayant été pratiquée, il sortit de l'os même un ichor ténu, séreux, un peu jaune, de mauvaise odeur, mortel.

om. C. – ἐγένετο om. C. — [9] ξ. Codd., Lind. – ϛ. vulg. – δυσχυτάτω (δυσχυτίω K) Φιλίας παιδίῳ vulg. – Voy. Ép. v. — [10] μετώπου sine τῷ C. — [11] ἐνν. CFHI, Lind. – εἶτα om. C. – φανείου HK. – Εὐέργου est, dans Ép. v, Εὐεργέτου. — [12] πῦον DJ. – πύον vulg. – ὑπεμένετο CFHK. – ὑπενέμετο vulg. – τρυπωμένοισιν C. – τρυπουμένοισιν vulg. – ὀρώδης CFGIJ. — [13] ξυνέβη D. — [14] καὶ ἀγριτείας (sic) ἐνίους C. — [15] ἦν C. – μὲν C. – μὲν om. vulg. — [16] ἡ C. — [17] ἦν DGHI, Ald., Frob. – ἦν vulg. – ἐν δὲ τ. pro ἦν δ' ἐν τ. C.

τοῖσιν ἀριστεροῖσι, τὰ δεξιά. Τῷ Θεοδώρου [1]ἐναταίῳ ἡλιωθέντι, πυρετὸς ἐπεῄει δεκαταίῳ ἐκ ψιλώματος, οὐδενὸς ἀξίου, ὡς εἰπεῖν, κατὰ τὸ ὀστέον· ἐν δὲ τῷ πυρετῷ ἐμελάνθη, ἀπέστη τὸ δέρμα· [2]ἐπὶ πουλὺ κλαγγώδης· δευτέρῃ καὶ εἰκοστῇ, ἡ γαστὴρ ἐπήρθη, μάλιστα δὲ κατὰ τὰ ὑποχόνδρια· [3]τρίτῃ καὶ εἰκοστῇ ἐτελεύτησεν. Οἷσι δ' ἂν ὀστέα καταγῇ, τούτοισιν ἑβδομαίοισιν οἱ πυρετοί· ἢν δὲ θερμοτέρη ἡ ὥρη, καὶ θᾶσσον· ἢν δὲ μᾶλλον κλασθῇ, καὶ παραχρῆμα. Καὶ ὁ [4]Ἐξαρμόδου παιδίσκος παραπλησίως, καὶ ἄλγημα ἐς μηρὸν [5]οὐ κατ' ἴξιν τοῦ τρώματος, καὶ [6]ἐγεγόνει κλαγγώδης, καὶ τραχήλου ὀδύνη. Καὶ ὁ Ποσειδοχρέων, τρίτῃ σπασμός· θέρμη [7]οὐκ ἔλιπεν· ἐτελεύτησεν ὀκτωκαιδεκαταῖος. Ὁ τοῦ Ἰσαγόρα ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, φλασθέντος τοῦ ὀστέου καὶ [8]μελανθέντος πεμπταίῳ, περιεγένετο, ὀστέον δὲ οὐκ ἀπέστη.

36. Τῷ ἐκ τοῦ μεγάλου πλοίου [9]διόπῳ, ᾧ ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον καὶ [10]τὸ ὀστέον συνέφλασε τῆς δεξιῆς χειρὸς, φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετός. Ὑπεκαθάρθη πέμπτῃ μετρίως, αἱ θέρμαι ἀνῆκαν καὶ [11]αἱ ὀδύναι, τοῦ δακτύλου τι ἀπέπεσεν. Μετὰ δὲ τὴν [12]ἑβδόμην ἐξῄει ἰχὼρ ἐπιεικῶς· μετὰ ταῦτα τῇ γλώσσῃ οὐ [13]πάντα ἔφη δύνασθαι ἑρμηνεύειν· [14]πρόῤῥησις· ὀπισθότονος· ξυνεφέροντο αἱ γνάθοι ξυνερειδόμεναι, ἔπειτα ἐς τράχηλον, τριταῖος ὅλος ἐσπᾶτο [15]ἐς τοὐπίσω ξὺν ἱδρῶτι· ἑκταῖος ἀπὸ τῆς προῤῥήσιος ἀπέθανεν.

37. Ὁ δὲ ἐκ τῆς Ἁρπάλου [16]ἀπελευθέρης Τηλεφάνης [17]τύμμα κάτωθεν μεγάλου δακτύλου ἔλαβεν· [18]ἐπεφλέγμηνε, καὶ σφόδρα

[1] Ἐνν. CFGH, Lind. – ἐπῄει om. C. – ἄξιος (αὔξιος DFGIJ, Ald., Frob.; ἀξίου Lind.) εἰπεῖν (ὑπῆν K) vulg. — [2] ἐπὶ πουλὺ C (πολὺ FI) – ἐπιπολὺ vulg. — [3] τρίτῃ καὶ εἰκοστῇ CD, Lind. – εἰκοστῇ τρίτῃ J. – κγ vulg. – κατεαγῇ DQ'. – καταγῇ vulg. — [4] ἐξ ἁρμόδου CD. – Ce nom propre paraît altéré. — [5] οὐ om. C. – ἴξιν CFGI, Ald., Frob. — [6] ἐγ. om. C. – ποσειδοχρέων CDFGHIJK. – ποσιδοχρέων Lind. – πουσιδοχρέων vulg. — [7] οὐ διέλιπεν K. – ἔλειπεν D. – ἰσαγόρου D. — [8] μελασθέντος C. – πεμπταῖος C. – περιγένετο C. – τε pro δὲ C. — [9] διοπώω (sic) C, Ald. – δειοπώω DFGHIJ. – δειοπάω K. – διόπῳ (διώπῳ Frob.) sine ᾧ vulg. — [10] τὸ om. K. – συνέθλασε CK. — [11] αἱ om. J. – ὀδῦναι FGIJ, Ald., Frob. — [12] ἑβδόμην CDFHJ, Lind. – ζ vulg. — [13] πάντων G. — [14] Ante πρ. addit τὶ vulg. – τὶ om. C. – προῤῥήσιος K. – ὀπισθ. εἰ (εἰ om. D) ἕξει (εἰ ἕξ. om. C) vulg. – ξυνεφέροντο Codd. – ξυνέφερόν τε (ξ. δὲ Lind.) vulg. — [15] εἰς K. — [16] ἀπελευθέρου D. – τηλ. D. – Τελ. vulg. — [17] στρέμμα L. — [18] ὑπ. K. – ἐς Codd., Lind. – εἰς vulg.

Dans ces cas il arrive aussi des vomissements, des accidents spasmodiques à la fin, parfois des cris éclatants, parfois des paralysies, à gauche si la plaie est à droite, à droite si la plaie est à gauche. L'enfant de Théodore s'étant le neuvième jour exposé au soleil, la fièvre survint le dixième à la suite d'une dénudation à l'os, laquelle n'était rien pour ainsi dire ; dans la fièvre, la partie devint livide, la peau se détacha ; beaucoup de cris éclatants ; le vingt-deuxième jour, le ventre se tuméfia, surtout dans la région des hypochondres ; le vingt-troisième, il succomba. Ceux qui ont des fractures [du crâne] sont pris de fièvre le septième jour ; et plus tôt si la saison est chaude (*Des plaies de tête*, t. III, p. 252), et sur-le-champ, si la fracture est très-considérable. Il en alla de même pour le garçon d'Exarmodus, douleur dans la cuisse, non du côté de la plaie (Mochlique, § 39) ; cris éclatants, douleur du cou. Et Posidocréon aussi ; le troisième jour, spasmes ; la chaleur fébrile ne le quitta pas ; il succomba le dix-huitième jour. Le garçon d'Isagoras fut blessé à l'occiput, l'os fut contus et devint livide le cinquième jour ; le blessé guérit ; il n'y eut point d'exfoliation.

36. (*Écrasement d'un doigt ; tétanos ; mort.* Ép. v, 74.) Le surveillant du grand navire qui eut le doigt indicateur et l'os de la main droite écrasés par l'ancre, fut pris d'inflammation, de sphacèle et de fièvre. Il fut purgé modérément le cinquième jour ; la chaleur et la douleur diminuèrent, une petite portion du doigt se sépara. Après le septième jour il sortait une humeur passable ; ensuite il se plaignit de sa langue, disant ne pas pouvoir tout articuler ; pronostic : opisthotonos. Les mâchoires serrées se joignaient l'une contre l'autre ; puis le cou fut pris ; le troisième jour, le corps tout entier était contracté en arrière avec sueur. Le sixième jour après le pronostic, il mourut.

37. (*Piqûre, tétanos, mort.* Ép. v, 75.) Téléphanès, fils de l'affranchie d'Harpale, eut une piqûre à la partie inférieure du pouce ; inflammation et douleur considérable. Cela s'étant

ἐπώδυνος ἦν, καὶ, ἐπεὶ ἀνῆκεν, ᾤχετο ἐς ἀγρόν. [1] Ὀσφὺν ἤλγησεν, ἐλούσατο, αἱ γένυες ξυνήγοντο [2] ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν· τὸ σίαλον ἀφρῶδες, μόλις ἔξω διὰ τῶν ὀδόντων διῄει· τριταῖος ἀπέθανεν.

38. [3] Ζήνων ὁ τοῦ Δάμωνος, περὶ κνήμην, ἢ σφυρὸν, ἕλκος κατὰ νεῦρον, ἤδη καθαρόν· τούτῳ δηχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν.

39. [4] Δείνωνι ὑπ' ἀρκτοῦρον, καὶ πρότερον ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθενέως διατεθέντι, ἐκ πορείης κοπιάσαντι, καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ· καὶ βὴξ, ἔχουσα μὲν ἐκ [5] καταῤῥόου καὶ πρότερον, τότε δὲ ἦν κατακορής· καὶ ἄγρυπνος, καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ' ἀρχῆς, καὶ ἀνακαθίζων. Τριταῖος [6] ἔπτυσεν ὠχρόν· ἀρτηρίη ὑπεσύριζε ῥεγχῶδες. Περὶ τὴν πέμπτην, πνεῦμα ἐπιεικῶς πυκνόν· πόδες, [7] αἱ κνῆμαι, ἄκρεα τὰ πλεῖστα ψυχρὰ, καὶ ἔξω τοῦ ἱματίου· ὑποχώρησις ἀπ' ἀρχῆς ἐπεγένετο χολώδης, οὔτε λίην ὀλίγη, οὔτε πουλλή. [8] Ἑβδομαῖος καὶ ὀγδοαῖος καὶ ἐναταῖος ῥᾷον ἐδόκει φέρειν, καί τινες ὕπνοι ἐγένοντο, καὶ τὰ ἀποχρεμπτόμενα ἀμεμπτότερα. [9] Δεκάτῃ καὶ μέχρι [10] τρισκαιδεκάτης, σφόδρα λευκὰ καὶ καθαρά· καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο, [11] τὸ δὲ ἀριστερὸν ξυντεταμένον· καὶ εὐπνούστερος· πρὸς [12] δὲ βάλανον ὑπῆλθε μετρίως. [13] Τρισκαιδεκάτῃ, πάλιν ἔπτυσεν ὠχρὸν, τεσσαρεσκαιδεκάτῃ δὲ μᾶλλον, πεντεκαιδεκάτῃ [14] δὲ πρασοειδές· κοιλίη δὲ κακώδεα, χολώδεα, ὑγρὰ, συχνὰ ὑπῆλθεν· ἀριστερὸν ὑποχόνδριον ἐπήρετο, [15] ἑκκαιδε-

[1] Ante ὀσ. addit ἀναχωρέων Lind. – ὀσφὺν D, Lind. – ὀσφῦν vulg. — [2] ἐς ν. om. C. – νῦκτα FI. – μόγις C. — [3] ῥίνων C. – ῥήνων (D, in marg. al. manu ζήνων) HIJK. – δάμνωνος DJ. – δαμώλεος (sic) C. – ἢ (καὶ C) pro ἢ vulg. – ἕλκος om. K. — [4] δείνωνι IJK. – δεινόννη (sic) C. – τείνωνι D. – μείνωνι vulg. – ἀσθενέως C. – ἀσθενῶς vulg. – πορίης CK. — [5] καταρρόου Codd, Ald., Frob. – κατάρρου vulg. – καὶ οὐ πρ. DFGHIJK. – ἀπαρχῆς K. — [6] ἔπτησεν C. – ὑπεστήριζε, emend. al. manu D. – πέμπτην CJ, Lind. – ε vulg. — [7] καὶ pro αἱ Lind. – καὶ αἱ CDGHIJQ' – πουλλὴ D. – πολλὴ vulg. — [8] ἑβδομαῖος CDFIJK. – ἑβδόμῃ Lind. – ζ vulg. – ὀγδοαῖος CJ. – ὀγδόῃ D, Lind. – η vulg. – ἐναταῖος J. – ἐνναταῖος C. – ἐννάτῃ Lind. – θ vulg. – ῥάων (ῥᾶον FI) ἐδόκει sine φ. GHJK. – ῥάων ἐγένετο pro ῥ. ἐ. φ. DQ'. – τὰ CDHIJKQ'. – τὰ om. vulg. – ἀπεπτότερα vulg. – ἀπεμπτότερα (sic, C. – La fausse leçon de C me paraît mettre sur la voie de la bonne, puisqu'il s'agit ici d'un amendement des symptômes, et non, comme l'indiquerait ἀπεπτότερα, d'une aggravation. — [9] ι HK. — [10] τρισ-

amendé, il alla à la campagne; il souffrit dans les lombes; il se baigna; les mâchoires se serrèrent pendant la nuit; l'opisthotonos était là. La salive, écumeuse, était à peine expulsée hors des dents; il mourut le troisième jour.

38. (*Plaie irritée par un médicament, tétanos, mort.* Ép. v, 76.) **Zénon**, fils de Damon, avait à la jambe, près de la cheville, une plaie voisine du tendon, déjà mondifiée; le médicament l'ayant irritée, il survint un opisthotonos qui l'emporta.

39. (*Bronchite capillaire? avec douleur de côté, chez un individu affaibli.*) Dinon, au lever d'Arcturus, ayant été affaibli dès auparavant par une fièvre d'été et une diarrhée, s'étant fatigué par une marche, fut pris d'une douleur dans le côté gauche et de toux; la toux, qui, due à un catarrhe, existait auparavant, devint alors intense; insomnie; le malade supporta tout d'abord très-mal la fièvre, et se tenait sur son séant. Le troisième jour, expectoration jaune; la trachée-artère faisait entendre une espèce de sifflement raboteux. Vers le cinquième, respiration assez fréquente; les pieds, les jambes, en général les extrémités, froides et hors des couvertures; les déjections furent tout d'abord bilieuses, sans être ni minimes ni très-abondantes. Le septième, le huitième et le neuvième jours, il paraissait se trouver mieux; il survint un peu de sommeil, et l'expectoration fut de moins mauvaise apparence. Le dixième et jusqu'au treizième, expectoration très-blanche et pure; l'hypochondre droit devint plus souple, mais le gauche se tendit; respiration plus aisée; un suppositoire amena une selle médiocre. Le treizième, il expectora derechef des matières jaunes, le quatorzième, encore plus jaunes, le quinzième, porracées; les selles furent fétides, bilieuses, liquides, abon-

καιδεκάτης CDJ. – τρισκαιδεκάτην Lind. – ιγ vulg. — [11] τὸ δὲ om. C. – ξυντεταμμ. Codd. – εὐπνούστερον vulg. – Le neutre me paraît avoir été produit par le voisinage des autres noms neutres dans cette phrase. — [12] δὲ om. Codd. — [13] τρισκαιδεκάτη (τριακαιδεκάτη Lind.), τεσσαρισκαιδεκάτη, πεντεκαιδεκάτη CJ, Lind. – ιγ, ιδ, ιε vulg. — [14] δὲ C. – δὲ om. vulg. — [15] ἑκκαιδεκάτη CJ, Lind. – ις vulg. – δὲ om. J.

κάτη δὲ καὶ σφόδρα ἐπώδησεν· καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες· ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα, ὀλιγάκις ἐπὶ τὸ στῆθος· ἄκρεα καὶ μέτωπον ἐπιεικῶς [1] διετέλει ψυχρά· πηδηθμὸς [2] δὲ φλεδῶν περὶ κροτάφους κατεῖχεν· ὕπνοι [3] κωματώδεες καὶ ἡμέρην καὶ νύκτα τοὺς τελευταίους χρόνους· οὖρον ἀπ' ἀρχῆς ὠμὸν, σποδοειδές· περὶ [4] δεκάτην καὶ μέχρι τρισκαιδεκάτης λεπτὰ καὶ οὐκ ἄχροα, ἀπὸ δὲ τῆς [5] τρισκαιδεκάτης οἷάπερ ἀπ' ἀρχῆς.

40. [6] Τῷ Κλεόχῳ πλευροῦ ἄλγημα καὶ πυρετός· ἀνῆκεν ὁ πυρετός· ἵδρωσε τὸ σῶμα ὅλον· ἐν τῷ οὔρῳ [7] πουλλὰ τὰ ἐμφερόμενα ἦν, ἐθορυβήθη μετὰ ταῦτα.

41. [8] Πληϊάδων περὶ δύσιν, τὴν Ὀλυμπιάδεω, ὀκτάμηνον ἔχουσαν, ἐκ πτώματος πυρετὸς ὀξὺς ἔλαβε· γλῶσσα καυσώδης, ξηρὴ, τρηχείη, ὠχρή· ὀφθαλμοὶ ὠχροὶ, καὶ τὸ χρῶμα νεκρῶδες. Διέφθειρε πεμπταίη· ῥηϊδίως ἀπήλλαξε, καὶ ὕπνος, ὡς ἐδόκεε, [9] κωματώδης· δείλης διεγειρόντων οὐκ ᾐσθάνετο, πταρμικῷ ὑπήκουσε, πόμα κατεδέξατο καὶ χυλοῦ, [10] ὑπέδησσε καταπίνουσα τὸ πόμα· ἡ φωνὴ οὐκ ἐλύετο, οὐδὲ [11] αὐτή τι ἀνέφερεν· τὰ ὄμματα κατηφέα· πνεῦμα μετέωρον, κατὰ [12] ῥῖνα σπώμενον· χρῶμα πονηρόν· ἱδρὼς περὶ τοὺς πόδας καὶ σκέλεα [13] περὶ θάνατον ἐούσῃ· ἐτελεύτησεν.

42. Τῇ Νικολάου [14] ξυνέτιδι ἐκ καύσου τὰ παρ' οὖς ἐγένετο ἐπ' ἀμφότερα, ὀλίγῳ ὕστερον τὸ ἕτερον, ἤδη δοκέοντος χαλᾷν τοῦ πυρετοῦ. Ὡς [15] οἶμαι, περὶ τεσσαρεσκαιδεκάτην μεγάλα· ἀσήμως κατέστη· ὑπέστρεψεν· χρῶμα νεκρῶδες, γλῶσσα τρηχείη, [16] δασέη σφόδρα,

[1] Δὲ ἐτέλει C. — [2] τε DFHIJK. – κατεῖχεν CDFGHIK, Ald. – κατέσχεν vulg. — [3] κωμμ. C. – νῦκτα FI. — [4] δεκάτην Codd., Lind. – ι vulg. – καὶ om. C. – τρισκαιδεκάτης C. – τρισκαιδεκάτην J. – τριακαιδεκάτην Lind. – ιγ vulg. – γ D. — [5] τρίτης καὶ δεκάτης C. – τριακαιδεκάτης Lind. – ιγ vulg. – ἀπὸ δὲ τῆς τρίτης μέχρι τῆς τρισκαιδεκάτης D. – ἀπὸ δὲ τῆς τρίτης ἀπὸ δὲ τῆς τρισκαιδεκάτης J (ιγ FI). — [6] τῷ om. C. – καὶ πυρ. om. C. — [7] πουλλὰ D. – πολλὰ vulg. – ἐμφ. C. – ἐκφ. vulg. — [8] μετὰ πλ. δ. C. – τρηχείη C. – τραχ. vulg. – χρῶμα C. – σῶμα vulg. — [9] κωμ. DQ'. – καυματώδης vulg. — [10] ὑπέσεισε C. — [11] αὔτη H. – αὐτῇ Codd. ap. Foes in notis. – Dans le Gl. de Galien ἀναφέρειν est expliqué par *avoir la respiration entrecoupée*; il me semble que c'est le sens qu'il faut suivre dans cette phrase obscure. Foes, qui indique ce sens de Galien, traduit néanmoins: *neque ipsa quicquam convalescebat*. — [12] ῥῖνα DIJ, Kühn – ῥίνα vulg. — [13] τελευτώσῃς pro π. θ. ἐ. ἐτ. C. – ἐούσης K. – ἐοῦσα H. — [14] ξυν. om. C. – ξυνέτη K. –

dantes ; l'hypochondre gauche se gonfla, et, le seizième, devint très-enflé ; respiration déjà râlante ; sueur au front et au cou, rarement à la poitrine ; les extrémités et le front restaient assez froids, le battement des veines aux tempes persistait ; du sommeil comateux et le jour et la nuit dans les derniers temps ; urine dès le début crue, cendrée ; ténue et non de mauvaise couleur, vers le dixième et jusqu'au treizième ; mais, à partir du treizième, telle qu'au début.

40. (*Douleur de côté ; sueur ; guérison.*) Chez Cléochus, douleur de côté, fièvre ; la fièvre diminua ; il eut une sueur générale ; dans l'urine nageaient beaucoup de particules suspendues, elle se troubla ensuite.

41. (*Chute ; avortement ; fièvre ; mort.*) Vers le coucher des Pléiades, la femme d'Olympiadès, grosse de huit mois, fut prise, à la suite d'une chute, d'une fièvre aiguë ; langue brûlée, sèche, âpre, jaune ; yeux jaunes, couleur cadavéreuse. Elle avorta le cinquième jour ; l'avortement fut facile ; sommeil comateux, à ce qu'il parut ; le soir on fit d'inutiles efforts pour la réveiller ; un sternutatoire en vint à bout ; elle prit une boisson et un peu de décoction d'orge, elle eut quelque peu de toux en avalant la boisson, la voix ne se déliait pas (Ép. II, 6, 2 et 4), la malade n'avait aucunement la respiration entrecoupée ; yeux enfoncés ; respiration élevée, s'exécutant par les narines ; couleur mauvaise ; sueur aux pieds et aux jambes à l'approche de la mort ; elle succomba.

42. (*Causus ; parotides ; disparition des parotides ; mort. Coaq., 204.*) La concubine de Nicolaüs, dans un causus, eut des parotides des deux côtés, l'une un peu après l'autre, alors que la fièvre semblait déjà se relâcher. Ces tumeurs, vers le quatorzième jour, je pense, étaient grosses ; elles s'affaissèrent sans signe ; récidive ; couleur cadavéreuse ; langue âpre, très-héris-

ὀλίγῳ CDFHIK. – ὀλίγον vulg. – [περὶ] τὸ ἔτ. Lind. – χαλεποῦ pro χαλᾷν K. — [15] οἶμαι C. – οἴδημα pro οἶμαι vulg. – τεσσαρεσκαιδεκάτην CFIJ, Lind. – τὸ vulg. — [16] δασεῖη Lind.

ὑπόλευκος, διψώδης· ὑποχώρησις κάτω, πολλὴ, ὑγρὴ, [1] κακώδης παρὰ πάντα τὸν χρόνον, πρὸ τῆς τελευτῆς ἐφθάρη τὸ σῶμα τῷ πλήθει· ἐτελεύτησε περὶ τὰς εἴκοσιν.

43. Ἀνδρέαν πρὸ [2] πληϊάδος, φρίκη, πυρετὸς, ἔμετος· ἀπ' ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο. Τριταῖος δ' οὖν ἐὼν, πάλιν ἀγοράζων ἔφριξε· πυρετὸς ὀξύς· ἔμετος χολῆς ἀκρήτου· παραλήρησις ἐς νύκτα· [3] ῥᾴων πάλιν. Πέμπτη, χαλεπῶς. [4] Ἕκτη, ἀπὸ λινοζώστιος εὖ ὑπῆλθεν. [5] Ἑβδόμη, χαλεπώτερον· καὶ τὰς ἐφεξῆς [6] ξυνεχέστερος ἤδη, καὶ ἀνίδρωτος ἀπ' ἀρχῆς, καὶ διψώδης· μάλιστα δὲ [7] στόμα ὑπεξηραίνετο, καὶ πόμα οὐδὲν ἡδέως προσεδέχετο, ἀηδίης πολλῆς ἐούσης περὶ τὸ στόμα· γλῶσσα ξηρὴ, [8] ἄκροπις, τρηχύτης ἐπήνθει [9] ὠχρόλευκος· ἄγρυπνος, ἀσώδης, ἐκλελυμένος, κεκλασμένος· γλῶσσα ὑπὸ ξηρότητος ἐνίοτε ὑπότραυλος, ἕως διαβρέξειεν· χυλὸν μάλιστα προσεδέχετο. [10] Ἐναταίῳ ἢ δεκαταίῳ παρ' οὖς ἀριστερὸν καὶ [11] παρὰ τὸ ἕτερον ἐπάρματα [12] σμικρά· ἀσήμως ἐφάνη· οὖρα διὰ παντὸς οὐκ ἄχροα, ἄνευ δὲ ὑποστάσιος. [13] Τεσσαρεσκαιδεκαταίῳ ἱδρώτιον περὶ τὰ ἄνω· οὐ πολὺ μετριώτερον ἡ θέρμη, περὶ τὰς [14] ἑπτακαίδεκα ἐμωλύνθη. Κοιλίη [15] μετὰ τὰς δέκα ξηρὴ, οὐκ ἄνευ βαλάνων ὑποχωρέουσα. Περὶ δὲ τὰς [16] πέντε καὶ εἴκοσιν, ἐξανθήματα δι' ὀλίγου κνησμώδεα, θερμὰ, ὥσπερ πυρίκαυστα. Ὀδύνη δὲ ἦν περὶ [17] τὰς μασχάλας καὶ τὰ πλευρά· ἐς σκέλεα διῆλθεν ἀσήμως, καὶ ἔληξεν. Λουτρὸν ὠφέλει καὶ χρίσμα τὸ ἐν τῷ ὄξει. Μηνὶ [18] δὲ δευτέρῳ ἴσως ἢ τρίτῳ, ἐς νεφροὺς [19] ἡ ὀδύνη, καὶ πρότερόν ποτε γενομένη, κατέστη.

[1] Κάκοδμος K. – εἴκοσιν CDFIJ. – κ vulg. — [2] πληϊάδος Codd., Ald., Frob. – πληϊάδεος vulg. — [3] ῥέων C. – [τετάρτη] ῥ. Lind. — [4] ϛ H. – καλῶς pro εὖ C. — [5] ἑβδόμη CDJ, Lind. – ζ vulg. – χαλεπωτέρως D. — [6] ξ. Codd., Lind. – σ. vulg. — [7] δὲ τὸ σ. DFHJK. — [8] κόπρης, in marg. al. manu ἄκροπις C. – ἀκροκπὶς L. – Le Gl. de Galien rend ce mot obscur par *qui articule mal.* Schneider, dans son Suppl., demande si on devrait lire ἀκροαφής. Quelle que soit la forme du mot, le sens en est bien celui qu'indique Galien; cela est prouvé par un autre passage où ce mot est employé, p. 414, l. 14. — [9] ὠχρόλευκος ...... ξηρότητος om. K. — [10] ἐνν. CFG, Lind. — [11] παρὰ Codd. – περὶ vulg. – ἔπαρμα τὰ C. — [12] σμ. Codd. – μ. vulg. – ἠφανίσθη C. — [13] ιδ H. — [14] ἑπτακαίδεκα CDJ, Lind. – ιζ vulg. – ἐμολύνθη Codd., Ald., Frob. — [15] περὶ pro μ. K. – δέκα CDFHIJ. – ι vulg. – εἴκοσι Lind. – βαλάνων Lind. – βαλανείων vulg. – βαλανείῳ Ald. — [16] πέντε καὶ εἴκοσιν C. – εἰκοσιπέντε J, Lind. – κε vulg. – δι' om., in marg. al. manu δι' ὅλου C. — [17] τὰς om. C. – τὰ om. C. – ὠφελεῖ C. – χρῶμα, ἡ supra ῶ C. — [18] δὲ om. C. – β G. — [19] ἡ om. H.

sée, un peu blanche; soif; déjections abondantes, liquides, fétides durant tout le cours de la maladie. Avant la mort, le corps se fondit par la quantité des évacuations; elle succomba vers le vingtième jour.

43. (*Fièvre tierce, devenant continue.*) Chez Andréas, avant le lever des Pléiades, frissonnement, fièvre, vomissement; dès le début, la fièvre parut être hémitritée. Étant donc au troisième jour et se trouvant sur la place publique, il eut derechef un frisson; fièvre aiguë; vomissement d'une bile intempérée; délire dans la nuit; puis, de nouveau amendement. Le cinquième, état pénible. Le sixième, il fut bien évacué par la mercuriale. Le septième, aggravation; et les jours suivants la fièvre prit de plus en plus le caractère continu; dès le début, absence de sueur; soif; la bouche était particulièrement sèche; et il ne prenait avec plaisir aucune boisson, la bouche ayant un goût très-désagréable; langue sèche, articulant mal; il s'y développait des aspérités d'un blanc jaune; insomnie; haut-le-cœur; résolution, brisement; la langue était parfois un peu bégayante à cause de la sécheresse, jusqu'à ce qu'il l'eût humectée; il prenait de préférence de la décoction d'orge. Le neuvième ou le dixième jour, près de l'oreille gauche et près de la droite, tumeurs petites, elles parurent sans signe; urine, durant tout le temps, d'une couleur qui n'était pas mauvaise, mais sans dépôt. Le quatorzième, petite sueur dans les parties supérieures; la chaleur fébrile n'en fut guère mitigée, elle tomba vers le dix-septième. Après les dix premiers jours, ventre resserré, point d'évacuation sans suppositoire. Vers le vingt-cinquième, un exanthème prurigineux, chaud, semblable à des brûlures, parut peu à peu. Il y avait aux aisselles et aux côtés une douleur qui descendit aux jambes sans signe et cessa. Le bain soulageait, ainsi que la friction avec le vinaigre. Au deuxième mois peut-être ou au troisième, la douleur qui précédemment aussi s'était parfois fait sentir aux reins, se fixa dans ces organes.

44. Ἀριστοκράτει, περὶ ἡλίου [1] τροπὰς χειμερινὰς, κόπος καὶ φρίκη καὶ θέρμη· μετὰ δὲ ἤρξατο τριταίῳ πλευροῦ ὀδύνη καὶ ὀσφύος, καὶ οἴδημα ἐκ τῆς μασχάλης [2] ἀρξάμενον παρ' ὅλον τὸ δεξιὸν πλευρὸν, σκληρὸν, ἐρυθρὸν, πελιδνὸν, ὡς [3] ὑπὸ πυρὸς θαλφθὲν καὶ ἐκκεκαυμένον. [4] Ἀσώδης, δυσφόρως ἔχων, σφόδρα διψώδης, γλῶσσα ὑπόλευκος, οὖρα οὐκ ἐχώρεε, σκέλεα ὑπόψυχρα· ὑποχώρησις ἀπὸ λινοζώστιος ὀλίγη, ὑγρὰ, ὑπόλευκα, ἀφρώδεα. Ἐς νύκτα πνεῦμα ἐμετεωρίζετο· ἱδρώτιον περὶ μέτωπον· [5] τὰ κάτω ψυχρά· ἀσώδης· τράχηλος ἐνεφυσᾶτο· βὴξ οὐκ ἐνῆν· ἐτελεύτησεν ἔμφρων.

45. [6] Μνησιάνακτι, περὶ φθινόπωρον, ὀφθαλμίη, μετὰ δὲ τεταρταῖος πυρετός· ἀρχομένου τοῦ τεταρταίου, σφόδρα ἀπόσιτος, προσιόντος δὲ, ἡδέως πρὸς σιτίον· καὶ [7] Πολυχάρει δὲ ἐν τεταρταίῳ ὅμοια τὰ περὶ τὴν σίτισιν. [8] Ξυνέβη δὲ καὶ τῷ Μνησιάνακτι ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ, καὶ μετὰ ἐπὶ πουλὺν χρόνον παρηκολούθει πολλῶν, λευκῶν, μυξοποιῶν, καὶ ἔστιν ὅτε σμικρὸν αἷμα ἄνευ [9] τόνων καὶ ὀδύνης· ψόφοι δὲ ἐν γαστρί. Μετὰ τὸν πυρετὸν, ἀπέστη παρὰ τὴν [10] ἕδρην φῦμα σκληρὸν, πουλὺν [11] χρόνον παρηκολούθει ἄπεπτον, ἐῤῥάγη ἐς τὸ ἔντερον, καὶ ἔξω συριγγῶδες ἐγένετο. Περιπατοῦντι δ' αὐτῷ ἐν τῇ ἀγορῇ, μαρμαρυγαὶ [12] ὡρῶντο πρὸ τῶν ὀφθαλμῶν, καὶ τὸν ἥλιον οὐ πάνυ καθεώρα· ἀποχωρήσας δὲ [13] σμικρὸν ἐξ ἑωυτοῦ ἦν καὶ τράχηλον σπασμώδης. Ἐπεὶ δὲ ἐκομίσθη ἐς οἶκον, μόγις ἀνέβλεψε, καὶ αὐτὸς ἑωυτοῦ [14] μόγις ἐγένετο· τὸ πρῶτον δὲ περιέβλεπε τοὺς περιεστῶτας, καὶ τὸ σῶμα

ce passage est tiré du troisième livre *Du régime dans les maladies aiguës*. C'est une erreur, il est tiré du troisième *Du régime*, Περὶ διαίτης. Il est singulier que cela ait échappé à Galien. Ce médecin (et ce n'est pas la seule fois que je l'ai remarqué), est loin d'être familier avec tous les livres de la Collection hippocratique; il n'en connaît à fond qu'un petit nombre; les autres lui sont étrangers. Ce passage n'est donné par aucun de nos mss. Cependant, comme Galien, qui le rejette, ne dit point qu'il ne figurât pas dans les exemplaires, il est possible que les anciens exemplaires l'aient offert, et qu'il ait subséquemment disparu des copies, justement à cause de la condammation prononcée par Galien. — [7] οὐδεμία εὐλάβεια οὗ δεῖ εὐλάβεια A. – ἀπειρίη était entendu par les uns comme signifiant *inexpérience*, par les autres, *infinité*, c'est-à-dire étendue infinie de la médecine comme Aph. 1, 1 : L'art est long. D'autres écrivaient εὐλαβείη ἀπειρίῃ : Il faut être reservé quand on n'a pas d'expérience; explication que Galien approuve. — [8] κ. πλείστοισιν ἢ τοῖσι κάτω A. – ἀναῤῥοπὴ καταῤῥοπὴ Gal. – ἀν. κατ. om. A. — [9] καὶ om. A. – ἃ om. A. – Ante ξ. addit σκεπτέα A. – ξ. E, Lind. – σ. vulg. – ὅροι pro ὥρη Gal. – νόσου Gal. – ἃ pro οἷσιν ὁκόσον A. – ἢ οὔ om. A. — [10] κάθαρσις καὶ (καὶ om. Lind.) κένωσις Gal. – κ. κ. κ. om. vulg. — [11] ἔγκλισις A. – ἔκλυσις JL. — [12] ἢ A. – ἢ om. vulg. – τὴν A. – τὴν om. vulg. — [13] ἢ A. – ἢ om. vulg. – ἢ μ. ῥ. om. A. — [14] ἢ Codd., Gal., Lind. – ξυρῆναι vulg., faute d'impression répétée dans Lind.

ἐοῦσα περιῤῥέοι, εὐφορίην καθορέων ἢ δυσφορίην, [1] πρὶν κίνδυνον εἶναι, οἷα οὐ δεῖ παύειν. Πεπασμὸς, κατάβασις τῶν κάτω, ἐπιπόλασις τῶν ἄνω, καὶ τὰ ἐξ ὑστερέων, καὶ [2] ὁ ἐν ὠσὶ ῥύπος· ὀργασμὸς, ἀνάπτυξις, [3] κίνωσις, θάλψις, ψύξις, ἔσωθεν, ἔξωθεν, τῶν μὲν, τῶν δ' οὔ. [4] Ὁκόταν ἔῃ κάτωθεν ὀμφαλοῦ τὸ στρέφον, βραδὺς, [5] μαλθακὸς ὁ στρόφος, ἔμπαλιν δὲ ἐς τοὐναντίον.

4. Τὰ [6] διαχωρέοντα, ᾗ ῥέπει, ἄναφρα, πέπονα, ὠμὰ, ψυχρὰ, δυσώδεα, ξηρὰ, ὑγρά. Μὴ καυσώδεσι δίψα πρόσθεν μὴ [7] ἐνεοῦσα, μηδὲ καῦμα, [8] μηδὲ ἄλλη πρόφασις, οὖρον, ῥινὸς ὑγρασμός. Τὴν [9] ἐῤῥιψιν, καὶ τὸν αὐασμὸν, καὶ τὸ ἀσύμπτωτον, καὶ τὸ [10] θολερὸν πνεῦμα, ὑποχόνδριον, ἄκρεα, ὄμματα προσκακούμενα, [11] χρώματος μεταβολὴ, σφυγμοὶ, ψύξιες, παλμοὶ, σκληρυσμὸς δέρματος, νεύρων, ἄρθρων, φωνῆς, γνώμης, σχῆμα ἑκούσιον, τρίχες, ὄνυχες, τὸ εὔφορον, [12] ἢ μὴ, οἷα δεῖ. [13] Σημήϊα ταῦτα, ὀδμαὶ χρωτὸς, στόματος, ὠτὸς, διαχωρήματος, φύσης, οὔρου, ἕλκεος, ἱδρῶτος, πτυέλου, ῥινὸς, χρὼς ἁλμυρὸς, ἢ πτύαλον, ἢ ῥὶς, ἢ δάκρυον, ἢ ἄλλοι χυμοί· [14] πάντη ὅμοια τὰ ὠφελέοντα, τὰ βλάπτοντα. Ἐνύπνια οἷα ἂν [15] ὁρέῃ,

[1] Πρὶν ἢ A. – εἶναι A. – ἰέναι vulg. – εἰδέναι G. – οἷα δεῖ παύειν ἢ οὒ Lind. — [2] ὁ EH (τὰ pro ὁ A). – ὁ om. vulg. – ἐργασμὸς EGJ. – In marg. ὀργασμὸς μαλαγμός· μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδάρῳ λέγων· καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν· καὶ Ἀττικοὶ δὲ ἰδίως λέγουσιν ὀργάσαι τὸ τὰ ὑγρὰ τοῖς ξηροῖς μῖξαι καὶ ἀναφυρᾶσαι καὶ οἷον πηλὸν ποιεῖν E. — [3] κ. om. A. – Après οὔ, le texte de Galien porte un morceau de plusieurs lignes commençant par ἀποπάτους δὲ δεῖ διαχωρέειν et finissant par κάτωθεν. Galien ne le commente pas, il dit seulement que ce morceau ne se trouve pas dans les anciens exemplaires. Je ferai ici la même remarque que plus haut : Il n'a pas reconnu que ce morceau appartient au Prorrhétique II. — [4] ὅταν ᾖ A. – ἐκ pro ἔῃ Ald., Gal. — [5] [καὶ] μ. Lind. – ἔμπαλιν δὲ Gal. – ἔμπ. δὲ om. vulg. – ἐς om. Gal. — [6] τὰ δὲ δ. EHQ', Lind. – Post ῥέπει addit ἢ δι' ἃ ῥέπει A. – ὠμὰ, ψυχρὰ, δυσώδεα (δύσοσμα G, H supra lin., KLQ', Lind.) ξηρὰ, ὑγρὰ, ὀδμηκακώδεα (ὀδμὴ κακώδεα EH; ὀσμικακώδεα Gal.; ὀδμηκώδεα FGK; ὀδμὴ, κώδεια L; ὀδμὴν κακώδεα Lind.). Δίψα vulg. – ἢ ψυχρὰ (sine ὠμὰ) ἢ θερμὰ, φυσώδεα, ξηρὰ ἢ ὑγρὰ μὴ καυσῶδες ἡ δίψα A. – ὀδμηκακώδεα est un barbarisme. Je pense qu'en lisant μὴ καυσώδεσι pour μὴ καυσῶδες ἡ de A, on aura la véritable leçon, qu'il faudra rapporter à δίψα. — [7] ἐοῦσα Gal. — [8] μηδ' A. – οὔρων A. — [9] ἐῤῥιψις, mot très-controversé. D'après Glaucias, Héraclide de Tarente et Zeuxis, il signifie la jactitation ; d'après Rufus d'Éphèse et Sabinus, il exprime un symptôme funeste, à savoir la crainte qui s'empare du mourant au souvenir de ses actions passées. Artémidore Capiton et Numésien en avaient donné une explication que Galien trouve absurde

dantes, érugineuses, variées, semblables à des râclures, à de la lie, sanguinolentes, dépourvues d'air, à l'état de crudité, de coction, desséchées; le flux liquide qui est à l'entour; avec les évacuations observez le bien-être ou le mal-être du malade, avant que le danger ne survienne; ce qu'il ne faut pas arrêter. Coction, descente des humeurs d'en bas, montée des humeurs d'en haut; les évacuations de la matrice, le cérumen des oreilles; l'orgasme, l'ouverture des voies; vider, échauffer, refroidir en dedans, en dehors, ici, oui; là, non. Quand la cause des tranchées est au-dessous de l'ombilic, elles sont lentes, modérées, et réciproquement (Aph. IV, 20; Pronostic, 11, t. II, p. 139).

4. Les évacuations, là où elles tendent, sans écume, avec coction, sans coction, froides, fétides, sèches, humides. Dans une fièvre non ardente, la soif, qui n'existait pas d'abord, et qui n'a été produite ni par la chaleur ni par toute autre cause, l'urine, l'humidité des narines. Projection des malades dans le lit, la sécheresse et la rénitence du corps, la respiration trouble (I Prorrh., 39) (*Voy. note* 10), l'hypochondre, les extrémités, les yeux altérés, les changements de couleur, les battements, les refroidissements, les palpitations, l'endurcissement de la peau, des ligaments, des articulations; la voix, la pensée, la position prise volontairement, les cheveux, les ongles, la facilité ou la difficulté à supporter les

et qu'il dédaigne de rapporter. Il blâme aussi Asclépiade et Dioclès de Caryste, qui avaient attaché à ce mot le sens d'une affection mentale. D'après lui, *ἔρριψις* désigne le décubitus dans lequel le malade ressemble à un corps privé de vie. — [10] *θαλερὸν* A (H, in marg. *γέγρ. θολερόν*). – [illegible], expression inintelligible d'après Galien; il ne comprend pas davantage *θαλερὸν*, que Sabinus proposait. — [11] *χρωτὸς* A. – *μεταβολὴν* Gal. – *σφυγμοὺς, ψύξεις, παλμοὺς, σκληρυσμὸν* Gal. – *σφυγμὸς* G. – *ψύξιες* A. – *ψύξες* vulg. – *παλμοὶ* om. A. — [12] *ἦν* A. — [13] *σημεῖα* A. – *ὠτὸς διαχ.* A. – *διαχ. ὠτὸς* vulg. – *ἡ ἀλλοῖος χυμὸς* A. — [14] *πάντα* Gal. – *βλέποντα*, emend. al. manu, A. — [15] *ὁρᾷ* A. – *τοῖσιν* om. G. – *πύθεσθαι* (sic) A. – *πείθεσθαι* vulg. – *πείθεσθαι μὴ πρ.* E. – Les traducteurs mettent *obedire*, *obsequi*, c'est *πυθέσθαι* qu'il faut; Galien dit: « Si le malade a quelque désir d'entendre et de savoir tout ce qui se passe ..... »

καὶ ἐν τοῖσιν ὕπνοισιν οἷα ἂν ποιέῃ, ἢν ἀκούῃ ὀξὺ, καὶ πυθέσθαι προθυμέηται, ἐν τῷ λογισμῷ [1] μέζω καὶ ἰσχυρότερα τὰ πλείω, ἐπίκαιρα, σώζοντα· μὴ ἐπίκαιρα, τῶν ἑτέρων· ἢν αἰσθάνωνται πάσῃ αἰσθήσει πάντων, καὶ [2] φέρωσιν, ὁκοῖον ὀδμὰς, λόγους, ἱμάτια, σχήματα. Τοιαῦτα εὐφόρως, ἅπερ καὶ αὐτόματα ἐπιφαινόμενα ὠφελέει, [3] καὶ ὁκότε κρίσιν τὰ τοιαῦτα ἐμποιέει, [4] καὶ τοσαῦτα, καὶ τοιαῦτα, οἷον φῦσαι, οὖρον, οἷον [5] καὶ ὁκόσον καὶ ὁκότε· [6] ὁκόσα δ' ἐναντία, ἀποτρέπειν, μάχεσθαι αὐτοῖσιν. [7] Τὰ ἐγγὺς καὶ τὰ κοινὰ τοῖσι παθήμασι πρῶτα καὶ μάλιστα κακοῦται.

5. Κατάστασιν δὲ [8] τῆς νούσου ἐκ τῶν πρώτων ἀρχομένων ὅ τι ἂν ἐκκρίνηται, ἐκ τῶν οὔρων [9] ὁκοῖα ἂν ἔῃ, καὶ [10] οἵη τις σύμπτωσις, χροιῆς [11] ἀπάλλαξις, πνεύματος μινύθησις, καὶ τἄλλα μετὰ τούτων ἐπιθεωρέειν. [12] Τὸ μὲν, εἰ ὅμοια τὰ ἀπιόντα, δεῖ εἰδέναι, διέξοδοι, [13] οὖρα, καθ' ὑστέρας, πτύαλα, κατὰ ῥῖνας, ὄμματα, ἱδρῶτες, ἐκ φυμάτων, [14] ἢ τρωμάτων, [15] ἢ ἐξανθημάτων, [16] ὁκόσα αὐτόματα, ὁκόσα τέχνῃσιν, ὅτι ὅμοια ἀλλήλοισι πάντα τὰ κρίνοντα, [17] καὶ τὰ ὠφελέοντα, καὶ τὰ βλάπτοντα, καὶ τὰ [18] ἀπολύοντα, [19] ὡς τὰ μὴ περιφεύγων ἀποτρέπῃ, τὰ δὲ προσκαλέων καὶ ἄγῃ καὶ δέχηται. Καὶ τἄλλα δὲ [20] οὕτω, δέρματος, ἀκρέων, ὑποχονδρίων, ἄρθρων,

[1] Μέζω (*μείζω* A, Gal.) (*καὶ* A) *ἰσχυρότερα* (*ἰσχυρώτερα* A) *τὰ πλείω, ἐπίκαιρα τὰ σώζοντα τῶν ἑτέρων.* – J'ai refait cette phrase d'après le commentaire de Galien, qui dit : *τὰ πλείω καὶ ἰσχυρότερα κατὰ καιρὸν συμβαίνοντά ἐστι πρὸς σωτηρίαν· εἰ δὲ τὰ μείζω καὶ πλείω μὴ ἐπίκαιρα εἴη, πρὸς βλάβην ἀναφέρονται.* — [2] *φέρουσιν* EGHIJ, Ald., Gal. – *οἷον* A. – *ὁκοῖον* Gal. – *ἱμάτια* A. – *εἵματα* vulg. — [3] *καὶ ποτὲ κρ. καὶ τὰ τ.* A. — [4] *καὶ τ. κ. τ.* om. A. – *φῦσαι* A, Kühn. – *φύσαι* vulg. – *οὔρων* J. – *οἷον οὖρον* pro *οὖρον οἷον* Lind. — [5] *καὶ* om. A. – *ὅσον* A. – *πότε* A. — [6] *ὁπ. δ' ἐναντία* A. – *δὲ τἀναντία* vulg. – [*ἢ*] *μάχ.* Lind. — [7] Galien cite ainsi cette phrase : *τά τε ἐγγὺς καὶ τὰ κοινὰ καὶ πρῶτα μάλιστα κακοῦται* (De usu part. XI, 8), et *συνεγγὺς καὶ τὰ κοινὰ καὶ μάλιστα κακοῦντα* (Comm. in libr. De artic. III, text. 10). — [8] *τῆς νούσου* A. – *τ. ν.* om. vulg. — [9] *ὁκ. ἂν ᾖ* A. — [10] *οἷα* Gal. — [11] *ἐπάλλ.* EH. – *ἐξάλλ.* A. – *μείωσις* A. – *ἐπιθεωρέειν* A. – *τὰ διαιτήματα* pro *ἐπιθ.* vulg. — [12] *τὰ μὴ ὅμοια ἃ δεῖ εἰδέναι* pro *τὸ ...... εἰδέναι* A. — [13] *οὔρων* A. — [14] *ἢ* A. – *ἐκ* pro *ἢ* vulg. – *τρωμ.* A. – *τραυμ.* vulg. — [15] *ἢ* A. – *ἢ* om. vulg. — [16] *ὅσα* (*bis*) A. — [17] Galien commence une phrase nouvelle à *καὶ τὰ ὠφελ.*; mais il ajoute que beaucoup lient ce membre à ce qui précède ; arrangement qui me paraît bien préférable. — [18] *ἀπολύοντα* Gal. – *ἀπολλύοντα* vulg. – *ἀπολλύντα* A. – Galien a lu *ἀπολύοντα*, car il rend ce mot par *ὅσα ἀπολύει τὸν ἄρρωστον ἀπὸ τοῦ νοσήματος*; il ne signale

évacuations qui doivent se faire. Voici encore des signes : les odeurs de la peau, de la bouche, des oreilles, des selles, des gaz, de l'urine, des plaies, de la sueur, des crachats, des narines ; le goût salé de la peau, des crachats, du mucus nasal, des larmes, et d'autres humeurs. Ce qui sert ressemble complétement à ce qui nuit. Ce que le malade voit dans les songes, ce qu'il fait dans le sommeil ; si l'ouïe est fine, s'il s'informe avec intérêt ; dans le calcul des signes, les plus nombreux, les plus forts et les plus considérables, arrivant à temps, annoncent le salut ; arrivant hors du temps, sont de nature opposée ; examiner s'il conserve tous ses sens, s'il supporte tout, par exemple les odeurs, les discours, les couvertures, les positions. Il y a bonne tolérance, quand les symptômes survenant spontanément soulagent, et quand ils font crise, et quand ils sont suffisants en qualité et en quantité, comme les gaz, les urines ; examiner la qualité, la quantité et le jour. Tout ce qui est contraire, il faut le combattre et le détourner. Les parties confinant et communes aux lieux affectés sont lésées les premières et le plus (Des articul. 53, t. IV, p. 237).

5. Examinez la constitution de la maladie d'après les premières excrétions ; examinez comment sont les urines, quel est l'affaissement du corps, le changement de couleur, la diminution de la respiration, et tout le reste successivement. Il faut savoir si les évacuations sont semblables [à ce qu'elles sont dans l'état de santé] : les déjections, l'urine, les menstrues, les crachats, les mucosités nasales, la vue, la sueur, les matières fournies par les abcès, par les blessures, par les éruptions ; ce que produit le bénéfice de la nature ou celui de l'art. Car tout est semblable : les choses qui sont critiques, celles qui nuisent,

même aucune variante. Cependant je suis porté à croire que la vraie leçon est ἀπολλύντα ; du moins le balancement de la phrase est meilleur : κρίνοντα et ὠφελέοντα opposé à βλάπτοντα et ἀπολλύντα. — [19] ὅσα μὲν περιφεύγει ἀποτρέπει A. – ἀποφεύγων L. – προσκαλέηται A, Ald. – προσκαλῆται EG. – προσκαλεῖται F. – προκαλῆται IK. – προκαλεῖται HJ. – ἄγει (H, ex emend. al. manu) J. – δέχεται AH. — [20] οὕτως Gal. – στόματος, ὀμμα-

ὄμματος, στόματος, σχημάτων, ὕπνων, οἷα κρίνει, [1] καὶ ὅτε τὰ τοιαῦτα δεῖ μηχανάασθαι. [2] Καὶ ἔτι ὅσαι τοιαῦται ἀποστάσιες γίνονται, οἷαι ὠφελέουσι, βρώμασι, πόμασιν, ὀδμῇσιν, ὁράμασιν, [3] ἀκούσμασιν, ἐννοήμασιν, ἀφόδοισιν, [4] θάλψει, ψύξει, [5] ὑγροῖσι, ξηροῖσιν, ὑγρῆναι, ξηρῆναι, χρίσμασιν, ἐγχρίσμασιν, [6] ἐπιπλάστοισιν, ἐμπλάστοισιν, [7] ἐπιπάστοισιν, [8] ἐπιδέτοισιν, ἐπιθέτοισι, σχήματα, ἀνάτριψις, [9] ἴησις, πόνος, ἀργίη, ὕπνος, ἀγρυπνίη, πνεύμασιν ἄνωθεν, κάτωθεν, κοινοῖσιν, ἰδίοισι, τεχνητοῖσιν, ἐν τοῖσι παροξύσμοισι μήτε ἐοῦσι, μήτε μέλλουσι, [10] μήτ' ἐν ποδῶν ψύξει, ἀλλ' ἐν καταῤῥόπῳ τῇ νούσῳ.

6. Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυσμοῖσι τὰ προσάρματα μὴ διδόναι [11] μηδὲ ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων πρὸ τῶν κρισίων. Τὰ κρινόμενα [12] καὶ τὰ κεκριμένα ἀπαρτὶ μὴ κινέειν, [13] μήτε νεωτεροποιέειν μήτε [14] φαρμακείῃσι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν. [15] Τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαίνεσθαι. Πέπονα φαρμακεύειν καὶ [16] κινέειν, μὴ ὠμά, [17] μηδὲ ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. Ἃ δεῖ ἄγειν, [18] ὅπῃ ἂν μάλιστα ῥέπῃ διὰ τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν. Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' [19] ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως· ὅκου δὲ δεῖ, [20] γυιῶσαι, ἢ λειποθυμῆσαι, [21] ἕως ἂν τοῦτο ποιηθῇ, οὕνεκα

[1] Καὶ ὅτε καὶ τὰ τοιαῦτα A. – δεῖ Gal. – δεῖ om. vulg. – μηχανᾶσθαι AH. — [2] καὶ ἔτι om. A. – ὁπόσαι ἀπ. τοι. γίνωνται A. – οἷα pro οἷαι Lind., Mack. — [3] ἐνν., ἀκούσμ. A. — [4] Ante θ. addit ὑγροῖσι (ὑγρῇσι Gal.) vulg. – ὑγρ. om. AH, Lind. – ψύχει J. — [5] ὑγροῖσιν AEH, Lind. – ὑγρ. om. vulg. – ξηρότησιν Gal. — [6] ἐμπλ. ἐπιπλ. A. – ἐπιπάστοισιν ἐμπλ. ἐπιπλ. H. — [7] ἐπ. ἐπ. ἐπ. om. J. – ἐπιπάστ. om. A. — [8] ἐπιδέτοισιν A. – ἐπὶ (ἔτι K′) δὲ τοῖσιν vulg. – ἀνατρίψιες A. — [9] ἴασις (sic) A. – κοινοῖς ἰδίοις τεχνητοῖς A. — [10] μήτ' ἐν π. A. – μήτε π. vulg. — [11] μηδ' A. – προσθεσίων A. – προσθέσιων EH. – προθεσίων vulg. – πρὸ τ. κρ. om. A. – κρίσιων H, Lind. — [12] καὶ τὰ κ. om. A. – ἀπαρτὶ Gal. – ἀπάρτι A. – ἀρτίως vulg. – Hippocrate, dit Galien, nomme ici ἀπαρτὶ ce qu'il a nommé ἀρτίως dans l'aphorisme parallèle. — [13] μ. νεωτ. ponit ante ἀλλ' A. — [14] φαρμακείησι AE. – φαρμακίησι HJ, Gal. – φαρμακίοισι vulg. – ἄλλοισιν AH, Lind. – ἄλλοις vulg. — [15] τὰ ...... ἐπιφαίνεσθαι Gal., Mack.; om. vulg. – Cette phrase est longuement commentée par Galien; elle doit être rendue au texte, malgré le silence de tous nos mss. — [16] καὶ μὴ κ. ὠμὰ A. — [17] μηδ' AH. – ἢν AH. – τὰ πολλὰ δὲ E. – οὔ γε ὀργᾷ Gal. – ὀργᾶν, ὀρέγεσθαι, ἐπιθυμεῖν πρὸς συνουσίαν· ὀργὰς τοὺς τρόπους ἐκάλουν οἱ ἀρχαῖοι, ὡς καὶ Ἀλκμάν φησι· ἐν μὲν ἀνθρώπῳ ὀργαὶ κεκριμέναι μυρίαι in marg. E. – Voy. Alcmanis Fragmenta ed. Welcker, fr. CXXVI, p. 81. — [18] ὅποι K. – ῥέπῃ

celles qui délivrent. Éviter les unes et les éloigner; provoquer les autres, les amener et les recevoir. Le reste de même, la peau, les extrémités, les hypochondres, les articulations, les yeux, la bouche, les postures, le sommeil, ce qui annonce la crise, et quand il faut la provoquer. Parmi ces dépôts, ceux qui sont utiles, les favoriser par les aliments, les boissons, les odeurs, la vision, l'audition, les idées, par les évacuations, par l'échauffement, le refroidissement, par l'humectation, par la sécheresse; humecter, dessécher par les onctions, les illitions, les applications, les emplâtres, les poudres, les bandages, les épithèmes; les postures, les frictions, les remèdes, la fatigue, le repos, le sommeil, l'insomnie, les gaz qui se portent en haut, en bas; soit par des effets communs, soit par des effets particuliers, soit par l'action de l'art. Les dépôts ne sont utiles ni quand l'accès est présent, ni quand il va venir, ni quand les pieds sont froids, mais ils le sont dans le déclin de la maladie.

6. Dans les redoublements périodiques, ne pas accorder d'aliments, ne pas forcer d'en prendre, mais en diminuer la quantité avant les crises (Aph. I, 19). Ne pas mettre en mouvement ce qui se juge et ce qui est complétement jugé, et n'innover ni par des évacuants, ni par d'autres excitations, mais laisser les choses en l'état (Aph. I, 20). Les signes critiques en mieux ne doivent pas apparaître de bonne heure (Ép. II, 1, 6; p. 77). Purger et mettre en mouvement les humeurs en état de coction, mais non en état de crudité, non plus que dans les commencements, à moins qu'il n'y ait or-

διὰ AL, Gal., Mack. – ῥ. διὰ om. vulg. – μάλιστα ῥέπῃ ταύτῃ, ἄγειν διὰ τῶν ξ. χ. Lind. — [19] ὡς E, Lind. – ἕως vulg. – φέρει A. – ὅκου A. — [20] γνῶσαι vulg., faute de Frob., répétée dans vulg. et dans Kühn. – γνειῶσαι A. – γυῶσαι (E, gl. βλάψαι) Gl. — [21] ἕως ἂν τοῦτο ποιήσῃς (ποιηθῇ A), ἐπ' ἄλλα ῥέψαι ἢ (ἤ τι ἄλλο τότε δὲ ἐπ' ἄλλο τρέψεται pro ἐπ' ἄ. ῥ. ἢ A) ξηρῆναι, ἢ ὑγρῆναι (ἢ ὑγρ. om. A), ἢ ἀντισπάσαι (ἀντισπᾶσαι H, Ald., Frob.), οὕνεκα (οὗ ἕνεκα H; ἕως οὗ εἵνεκα A) τοῦτο (τ. om. A) ποιέεται, ἢν vulg. – Dans cette phrase οὕνεκα ποιέεται a été transposé par une erreur de copiste, comme le prouvent et le sens et le commentaire de Galien, qui dit ἕως ἂν τοῦτο γένηται, ὅπερ ἐθέλεις. Du reste, je me suis guidé sur A rectifié.

ποιέεται· εἴ τι ἄλλο τότε δεῖ, ἐπ' ἄλλο ῥέψαι, ἢ ξηρῆναι, ἢ ὑγρῆναι, ἢ ἀντισπάσαι, ἢν ἐξαρκέῃ ὁ νοσέων· τούτοισι τεκμαίρεσθαι· τὰ μὲν ξηρὰ, θερμὰ ἔσται, τὰ δὲ ὑγρὰ, [1] ψυχρά· διαχωρητικὰ δὲ [2] τἀναντία, ὡς ἐπὶ τὸ πολὺ δὲ ταῦτα. Ἐν τῇσι περισσῇσιν ἄνω, [3] ἢν καὶ αἱ περίοδοι καὶ ἡ κατάστασις τοιαύτη ἔῃ τῶν παροξυσμῶν· γίνεται δὲ τὰ πλεῖστα [4] ἐν τῇσιν ἀρτίῃσι κάτω· οὕτω γὰρ καὶ αὐτόματα ὠφελέει, ἢν [5] αἱ περίοδοι τοὺς παροξυσμοὺς ἐν τῇσιν ἀρτίῃσι ποιέωνται· ἐν δὲ [6] τοῖσι μὴ τοιούτοισιν, ἐν μὲν [7] ἀρτίῃσιν ἄνω, ἐν δὲ περισσῇσι κάτω· ὀλίγαι δὲ τοιαῦται, αἱ δὲ τοιαῦται δυσκριτώτεραι καταστάσιες. Ἀτὰρ καὶ τὰ πρόσω χρόνου [8] προήκοντα ἀνάγκη οὕτως, οἷον τρισκαιδεκαταῖα, τεσσαρεσκαιδεκαταῖα, τρισκαιδεκάτῃ μὲν [9] κάτω, τεσσαρεσκαιδεκάτῃ δὲ [10] ἄνω (πρὸς γὰρ τὸ κρίσιμον οὕτω ξυμφέρει), καὶ [11] ὁκόσα εἰκοσταῖα, πλὴν [12] ὁκόσα κάτω. Πολλὰ δὲ δεῖ καθαίρειν, ταῦτα δὲ [13] μὴ ἐγγὺς οὕτω κρίσιος, ἀλλὰ προσωτέρω· δεῖ δὲ ὀλιγάκις ἐν ὀξέσι πολλὰ ἄγειν.

7. [14] Τοῖσι κοπώδεσι τὸ σύμπαν, ἐν τοῖσι [15] πυρετοῖσιν ἐς ἄρθρα καὶ παρὰ γνάθους μάλιστα ἀποστάσιες γίνονται, ἐγγύς [16] τι τῶν πόνων ἑκάστου, ἐπὶ τὸ ἄνω μᾶλλον καὶ τὸ [17] σύμπαν· ἢν ἀργὸς ἡ νοῦσος

[1] Post ψ. andit ἔσται A. — [2] τὰ ἐν. AH. – ὡς ἐπιτοπολὺ (ἐπὶ τὸ πολὺ H) ταῦτα τῇσι π. vulg. – ἐπὶ (sine ὡς) πολὺ δὲ ταῦτα· ἐν τῇσι π. A. – Le commentaire de Galien justifie cette ponctuation. — [3] ἢν Gal. – περιοδικαὶ καταστάσιες τοιαῦται ἕως pro περίοδοι ...... ἔῃ A. – ἐκ pro ἔῃ Ald., Gal. — [4] ἐν A. – ἐν om. vulg. – ὠφελέειν A. — [5] Ante αἱ addit μὴ vulg. – μὴ om. A. – ποιέονται Gal. — [6] τοῖσι om. K. – τοῖσι μὴ τ. A. – μὴ om. vulg. — [7] ἀρτίοισιν Ald. – δὲ τῇσι π. vulg. – τῇσι om. A. – ὀλίγαι δὲ τ. om. A. – καὶ δυσκρ. vulg. – καὶ om. Codd., Mack. — [8] προσήκοντα AG. – ὡς pro οἷον Gal. – τρισκαιδεκαταῖαι, τεσσαρεσκαιδεκαταῖαι AK. – τεσσαρεσκαιδεκαταῖα om. J. — [9] ἄνω A. — [10] κάτω A. – χρήσιμον A. — [11] ὅσα εἰκοσταῖα καὶ τεσσαρακοσταῖα (sic) A. — [12] ὅσα A. – δὲ om. Codd., Ald. — [13] μὴ A. – οὐ Mack. – μὴ om. vulg. – οὔπω ἐγγὺς τῆς κρ. Gal. – ἐγγὺς οὐ τῆς κρ. Lind. – ἐν A. – ἐν om. vulg. — [14] τοῖσι δὲ A, Gal., Lind. – κοπιώδεσι A, Ald., Gal. – Galien rapporte expressément τοῖσι κοπώδεσι à ἄγειν : « Il faut, dit-il, purger abondamment dans les lassitudes. » Malgré cette décision formelle, je n'hésite pas à changer la ponctuation de vulg., qui, conformément au dire de Galien, ne met le point qu'après σύμπαν. Je mets le point après ἄγειν, me conformant à l'Aph. IV, 31, τοῖσι κοπιώδεσιν, ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους κτλ. Il est étonnant que Galien n'ait pas fait ce rapprochement, qui est décisif. Remarquons en outre, que dans ce paragraphe, il est question des lassitudes et de leur influence sur le siége des dépôts. — [15] πυρετώδεσι A. – (καὶ A) ἐς H, Lind. – εἰς vulg. – μάλιστα

gasme ; en général, il n'y a pas orgasme (Aph. I, 22). Les humeurs qu'il faut évacuer, les évacuer du côté où elles tendent le plus, par les voies convenables (Aph. I, 21). Juger les évacuations, non par la quantité, mais suivant qu'elles sortent telles qu'il convient et qu'on les supporte bien ; et, s'il le faut, affaiblir ou causer la syncope (Aph. I, 23), jusqu'à ce que vous ayez obtenu le résultat que vous voulez atteindre ; et, si alors il faut encore quelque chose, se tourner d'un autre côté, dessécher, humecter, opérer la révulsion jusqu'au point où le malade y suffira ; on en jugera aux signes suivants : ce qui est sec deviendra chaud, ce qui est humide deviendra froid ; les purgatifs produisent un effet contraire ; c'est là ce qui arrive généralement. Dans les jours impairs, les évacuations se font par le haut, si les périodes et la disposition de la maladie amènent aux jours impairs les redoublements. Dans les jours pairs c'est en général par le bas ; et de cette façon il y a soulagement, même quand le mouvement est spontané, si les périodes amènent les redoublements aux jours pairs. Mais, dans un ordre inverse, les évacuations se font par le haut aux jours pairs, par le bas aux jours impairs. Toutefois cela est rare ; et cette constitution est d'une solution plus difficile. Les maladies qui se prolongent sont soumises à la même règle, par exemple, celles qui vont au treizième et au quatorzième jour ; le treizième par le bas, le quatorzième par le haut, circonstance avantageuse pour la crise ; de même au vingtième jour, excepté quand les évacuations se portent vers le bas. Il faut souvent évacuer, et cela, non pas près de la crise, mais loin ; rarement dans les maladies aiguës il importe de provoquer de grandes évacuations (Aph. I, 24).

7. En général, quand il y a sentiment de brisure dans les fièvres, les dépôts se font surtout aux articulations et vers les mâchoires (Aph. IV, 31 ; Ép. VI, 7, 7), près des lieux affectés

ἐκ. γ. om. A. — [16] τε Lind. — ἢ ἕκαστον pro ἐκ. A. — τὰ A. — [17] Post σύμπαν habet denuo ἐν τοῖσιν πυρετοῖσι καὶ ἐς ἄρθρα καὶ παρὰ γνάθους A. — ἦν δὲ Gal. — ἀργὸς mut. al. manu in ἀνάρροπος A. — νόσος Gal.

[1]ἔῃ καὶ κατάῤῥοπος, κάτω [2]καὶ αἱ ἀποστάσιες· μάλιστα δὲ πόδες θερμοὶ κάτω σημαίνουσι, ψυχροὶ δὲ ἄνω. Οἷσι [3] δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, αὐτίκα [4] δὲ χερσὶν ἢ ποσὶ πονήσασιν, ἐν τούτοισιν ἀφίστανται· ἀτὰρ καὶ ἤν [5] τι προπεπονηκὸς ἔῃ, πρὶν ἢ νοσέειν, ἐς ταῦτα ἀποστηρίζεται, οἷον καὶ τοῖσιν ἐν Περίνθῳ βηχώδεσι καὶ κυναγχικοῖσιν· ποιέουσι γὰρ [6]καὶ αἱ βῆχες ἀποστάσιας, ὥσπερ οἱ πυρετοί· [7]ταῦτα κατὰ τὸν αὐτὸν λόγον [8]συμβαίνει ἢ ἀπὸ χυμῶν, ἢ σώματος [9]συντήξιος καὶ ψυχῆς.

8. Τοὺς μὲν οὖν [10]χυμοὺς εἰδέναι, ἐν ᾗσιν ὥρῃσιν ἀνθέουσι, καὶ οἷα ἐν ἑκάστῃ [11] νουσήματα ποιέουσι, καὶ οἷα ἐν ἑκάστῳ [12]νουσήματι παθήματα. Τὸ δὲ σῶμα τὸ ἄλλο, ἐς ὅ τι μάλιστα νόσημα ἡ φύσις [13]ῥέπει· οἷόν τι σπλὴν οἰδέων ποιέει, τούτων τι καὶ ἡ φύσις· σχεδόν τι καὶ χριώματα [14]κακίω, καὶ σώματα σειρέει, καὶ εἴ τι ἄλλο, ταῦτα διαγεγυμνᾶσθαι.

9. [15]Ψυχῆς, ἀκρασίη ποτῶν καὶ [16] βρωμάτων, ὕπνου, ἐγρηγόρσιος, ἢ δι' ἔρωτάς τινας, οἷον κύβων, ἢ διὰ τέχνας ἢ δι' ἀνάγκας καρτερίη πόνων, καὶ [17] ὧντινων τεταγμένη ἢ ἄτακτος· αἱ μεταβολαὶ ἐξ οἵων [18] ἐς οἷα. Ἐκ τῶν ἠθέων, [19]φιλοπονίη ψυχῆς, ἢ [20]ζητέων, ἢ μελετέων, ἢ ὁρέων, ἢ λέγων, ἢ εἴ τι ἄλλο, οἷον λῦπαι, δυσοργησίαι, ἐπιθυ-

[1] Εἴη Gal. – ἢ καὶ κατ. ἢ (sic) A. — [2] καὶ om. Lind. – αἱ AEHK, Gal., Lind. – αἱ om. vulg. — [3] δ' A. – ἀνισταμένοις A. — [4] δὲ A, Ald., Gal. – δὴ vulg. – ἐν χ. vulg. – ἐν om. A. – πονέουσί (πονέσωσί H ; πονέωσί E) τι vulg. – πονήσασιν sine τι A. – τουτέοισιν Gal. – τούτοις A. – ἀφίσταται AE (H, ν supra στα al. manu). — [5] τινα A. – προπεπονηκὼς A. – πεπονηκὸς vulg. – εἴη Gal. ἢ pro ἔῃ A. – ἢ om. AE. – ἐνταῦθα pro ἐς ταῦτα L, Mack. — [6] καὶ AH. – καὶ om. vulg. – τὰς ἀποστ. vulg. – τὰς om. A. — [7] τοιαύτας vulg. – ταῦτα A. – Dans vulg. τοιαύτας se rapporte à ἀποστάσιας, dans A ταῦτα à ce qui suit. — [8] συμβ. om. A. – σημαίνει, al. manu supra lin. συμβαίνει H. – σώματος ἀπὸ χυμῶν pro ἢ ἀπὸ χ. ἢ σ. EFGIJK. — [9] συνπήξιος, emend. al. manu A. — [10] χειμοὺς Ald. – ἐν ᾗσιν, mutat. al. manu in ἣν εἰσὶν, sine ὥρῃσιν ἀνθ. καὶ A. – ἑκάστη H. – ἑκάστῃσι EHIJK. – ἑκάστοισι vulg. — [11] νουσ. Ald., Lind. – νοσ. vulg. – ποιέ. om. A. — [12] σώματι pro ν. A. — [13] τρέπει A. – οἰδέων A. – ἐνοιδέων vulg. – ἐνοικέων EFGHIJK. – ποιέοι A. – τούτων τι καὶ ἡ om. A. — [14] κακοήθη A. – κακέω (sic) E. – σώματα om. A. – σειρεεῖ (sic) Gal. – σειρεοῖ vulg. – συρεοῖ L. – σειριᾶ K'. – σιναροὶ A. – ἀγυμναστίη pro διαγ. A. — [15] οἷον ψυχῆς K'. — [16] βροτῶν A. – ἢ κύβους pro οἷον κ. A. — [17] ὧν ...... οἵων om. A. — [18] ἐς A, Lind. – εἰς vulg. — [19] D'après Galien, il s'agit ici de connaître le moral pour apprécier l'état pathologique ; d'après Glaucias, la remarque n'est pas médicale et signifie seulement que d'après les mœurs on peut juger si un individu est laborieux ou paresseux. — [20] ζητῶν A. – ζητεαίων EFGHIJK.

dans chaque cas, mais, en somme, vers les parties supérieures de préférence ; si la maladie est lente et tend vers les parties inférieures, les dépôts se feront en bas ; le chaud des pieds annonce une évacuation par le bas, le froid par le haut. Chez ceux qui, relevant de maladie, fatiguent aussitôt des bras ou des pieds, c'est là que les dépôts s'opèrent (Aph. IV, 32 ; Ép. VI, 1, 9 ; Ép. IV, 48) ; de plus, si avant la maladie quelque partie a fatigué, c'est là que le dépôt se fixe (Aph. IV, 33 ; Ép. IV, 27 et 50 ; Ép. VI, 1, 9 ; Ép. VI, 3, 8 ; Ép. VI, 7, 7), ainsi qu'il arriva à ceux qui dans Périnthe furent affectés de toux et d'angine (Ép. VI, 7, 1, p. 333) ; car les toux font des dépôts comme les fièvres (Ép. VI, 7, 7). Il en arrive autant de la même façon ou par les humeurs ou par l'exténuation du corps ou par les affections de l'âme.

8. Savoir dans quelles saisons les humeurs font efflorescence, quelles maladies elles produisent dans chaque saison, et quels accidents elles causent dans chaque maladie. Quant au reste du corps, vers quelle maladie la constitution individuelle tend le plus ; ce que fait le gonflement de la rate, la constitution individuelle le produit jusqu'à un certain point ; la coloration est peut-être même plus mauvaise, le corps est desséché ; et autres cas analogues ; s'y exercer.

9. De l'esprit : dérèglements quant à la boisson, aux aliments, le sommeil, la veille, certaines passions, pour le jeu de dés par exemple, les labeurs soutenus soit dans l'exercice de professions, soit par nécessité, et, dans ces labeurs, la régularité ou l'irrégularité ; les changements, de quelles choses en quelles choses. Quant au moral, la disposition laborieuse de l'esprit, l'individu cherchant, s'occupant, regardant, parlant,

— ζητήσειων L. — Glaucias, ne pouvant entendre cette phrase, avait ajouté une négation, μὴ ζητέων, μὴ μελετέων, etc. ; Zeuxis lui en avait fait le reproche ; et ces deux témoignages, comme le remarque Galien, prouvent qu'il n'y a rien à changer au texte. Glaucias avait aussi ajouté une négation dans un passage embarrassant ; voy. Ép. VI, 2, 22. — μελετῶν A. — ἢ ὁρέων om. A. — οἷον om. A. — λῦπαι Kühn. — λύπαι vulg. — δυσοργίαι, mutatum al. manu in δυσοργησίαι H. — ἢ δυσοργεστίαι ἢ ἐπιθ. A.

μίαι· [1] τὰ ἀπὸ συγκυρίης λυπήματα γνώμης, ἢ [2] διὰ τῶν ὀμμάτων, ἢ [3] διὰ τῆς ἀκοῆς· [4] οἷα τὰ σώματα, μύλης μὲν τριφθείσης πρὸς ἑωυτὴν, ὀδόντες ἡμώδησαν, παρά τε κοῖλον παριόντι σκέλεα τρέμει, ὅταν [5] τε τῇσι χερσί τις, ὧν μὴ δεῖται, αἴρῃ, αὗται τρέμουσιν, ὄφις ἐξαίφνης ὀφθεὶς χλωρότητα ἐποίησεν. Οἱ φόβοι, [6] αἰσχύνη, λύπη, ἡδονὴ, ὀργὴ, τἄλλα τοιαῦτα, οὕτως ὑπακούει ἑκάστῳ τὸ προσῆκον τοῦ σώματος τῇ πρήξει, ἐν τούτοισιν ἱδρῶτες, καρδίης παλμὸς, [7] καὶ τὰ τοιαῦτα τῶν δυναμίων.

10. Τὰ [8] ἔξωθεν ὠφελέοντα ἢ βλάπτοντα, ἄλειψις, κατάχυσις, κατάχρισις, κατάπλασις, ἐπίδεσις ἐρίων καὶ τῶν τοιούτων, καὶ τὰ [9] ἔνδοθεν ὑπακούει τούτων ὁμοίως ὥσπερ τὰ ἔξω τῶν ἔσω προσφερομένων· ἀτὰρ καὶ [10] τάδε, ἐν ἐρίοισι κοίτη πινώδεσι, καὶ τὸ παρὰ [11] βασιλεῖ λεγόμενον κύμινον, δρῶσιν, [12] ὀσφραινομένοισιν· ὅσα κεφαλῆς ἀγωγὰ, ταρακτικὰ, λόγοι, φωνὴ, καὶ τὰ τοιαῦτα· μαζοὶ, γονὴ, ὑστέρη, [13] σημήϊα ταῦτ' ἐν τῇσιν ἡλικίῃσι, καὶ ἐν τοῖσι πνιγμοῖσι, καὶ βηξὶ, τὰ πρὸς ὄρχιν.

11. Ὥσπερ τοῖσι [14] δένδρεσιν ἡ γῆ, οὕτω τοῖσι ζώοισιν ἡ γαστὴρ καὶ τρέφει, καὶ θερμαίνει, καὶ ψύχει, [15] ψύχει μὲν κενουμένη, [16] θερμαίνει δὲ πληρουμένη· ὥσπερ γῆ κοπρευομένη χειμῶνος θερμὴ, οὕτω

[1] Ἢ τὰ A. – λυπηματώδεα A. – ἢ γνώμης A. — [2] ἢ τὰ διὰ A. — [3] διὰ τῆς om. A. — [4] Ante οἷα addit καὶ τὰ διὰ τῆς γνώμης A. – οἷον E. – εἰ ὀδόντες K. – κρημνὸν pro κοῖλον Gal. in cit., in Ep. III, Comm. I, text. 4, t. 17, p. 626. — [5] τε A. – δὲ vulg. – τις A. – τις om. vulg. – μὴ A. – μὴ om. vulg. – αἴρῃ A. αἴρει K'. – ἆραι vulg. – ἄραι Gal., Lind., Mack. – ὠφθεὶς A. – χλωρότερον ἐποίησαν οἱ φόβοι pro χλ. ἐποίησεν. Οἱ φ. L. — [6] Ante αἰσχ. addit οἷον vulg. (οἷς Gal.). – οἷον om. AK'. – ἡδονὴ, λύπη A. – τἄλλα (ἄλλα A; τὰ ἄλλα cæteri Codd.) (τὰ Codd.) τοι. ὑπακούει (ἐνακούει A), ἑκάστῳ δὲ (δὲ om. A) τὸ πρ. τ. σ. τῇ πρήξει (πράξει E), ἐν τούτοισιν (τούτοις A) ὑπακούει (ὑπ. om. A) vulg. – J'ai suivi A, dont la leçon, ponctuée comme j'ai fait, me paraît préférable. — [7] καὶ om. A (H, restit. al. manu). – δυνάμεων E, Gal. – δυνάμιων vulg. – δυναμένων AK. – Dans A, τῶν δυναμένων est rapporté à ce qui suit : τῶν δυναμένων τὰ ἔξωθεν κτλ. — [8] τὰ δ' Gal. – ἢ ὠφ. A – ἄλιψις A. – Ce substantif et les quatre suivants ont été, dans A, mis au pluriel par une autre main, ἀλείψεις κτλ. – κατάχρισις κατάχυσις A. – εἰρίων A. — [9] ἔνδον J. – ἔξωθεν, al. manu ἔνδοθεν E. – ὑπακούσῃ A. – τούτων ὁμοίως ὥσπερ A. – τῶν τοιούτων οὐ μόνον ὥσπερ vulg. – ἔσω A. – εἴσω vulg. — [10] τὰ τοιάδε A. – εἰρίοισι A. – κήτη E. – πινώδεσι A. — [11] [illegible] pro β. A. – βασιλέος Mack. — [12] ὡς ὀσφρ. EH. – [ἢ] ὀσφρ. Lind., Mack. – Les anciens commentateurs, dit Galien, mettent un point après ἀγωγὰ:

et choses semblables, telles que les chagrins, les emportements, les désirs ; tout ce qui contriste l'âme accidentellement, ou par la vue ou par l'ouïe ; comment aussi se comporte le corps : une meule qui frotte agace les dents ; les jambes manquent à celui qui marche sur le bord d'un précipice ; les mains tremblent après qu'elles ont soulevé un fardeau trop lourd ; l'aspect inattendu d'un serpent fait pâlir. Les craintes, la honte, la douleur, le plaisir, la colère, et autres : ainsi obéit à chacun de ces sentiments l'organe du corps qui y appartient ; dans ces cas, sueurs, battements du cœur, et autres phénomènes dus à de telles influences.

10. Les applications extérieures qui nuisent ou servent, onctions, affusions, frictions, cataplasmes, déligation de lainages et autres semblables ; l'intérieur en est affecté comme l'extérieur l'est par les choses administrées au dedans ; de plus aussi un lit fait avec les toisons encore grasses, et le cumin appelé royal (*cuminum cyminum L.*), à la vue, à l'odorat ; ce qui purge la tête est perturbateur ; les discours, la voix, et autres choses semblables. Les mamelles, le sperme, la matrice donnent des signes suivant les âges ; dans les étouffements et les toux, fluxions vers les testicules (Ép. II, 1, 7, p. 79 ; Ép. II, 5, 9 ; Ép. IV, 61).

11. Ce que la terre est aux arbres, l'estomac l'est aux animaux ; il nourrit, échauffe, rafraîchit ; vide, il rafraîchit ; rempli, il échauffe. Une terre fumée est chaude l'hiver ; de même le ventre. Les arbres ont une écorce légère et sèche, en dedans un tissu ferme ; ils sont sains, incorruptibles, durables ; de même parmi les animaux, les tortues et autres semblables. Dans les êtres vi-

et rapportent ταρακτικὰ à ce qui suit ; mais ταρακτικὰ est plutôt la fin de la phrase, une autre commençant à λόγοι κτλ. – φωνὴ ponit post τὰ τοι. A. — [13] σημεῖα A. – ταῦτ' ἐν A. – τά τε ἐν vulg. — [14] δένδρεσιν AHJ. – δένδροισιν vulg. – οὕτως A. – ζωδίοις A. — [15] καὶ κενουμένη μὲν ψύχει A. – μὲν om. restit. al. manu H. — [16] πληρ. δὲ θερμ. AE (H, δὲ om. restit. al. manu). – κοπριωμένη χ. θερμαίνει, οὕτω καὶ ἡ γαστὴρ θερμὴ γίνεται A. – ὥσπερ γῆ κοπρευομένη· [ὥσπερ δὲ ἡ γῆ] χ. θερμὴ, οὕτω κ. ἡ κ. Lind., Mack. – οὕτω καὶ om. (E, restit. al. manu) FGHIJK.

καὶ ἡ κοιλίη. [1] Δένδρεα φλοιὸν λεπτὸν ξηρὸν ἔχει, ἔσωθεν δὲ ξηρόσαρκα, ὑγιηρὰ, ἄσηπτα, χρόνια, καὶ ζώων, οἷον χελῶναι, καὶ ὅ τι τοιοῦτον. Ἡλικίῃσιν, ὥρῃσιν, [2] ἐνιαυτοῖσιν ὅμοια τὰ ζῶντα· οὐ τρίβεται, χρωμένοισι μετρίως βελτίω· ὥσπερ ὑδρήϊον νέον [3] διαπηδᾷ, παλαιούμενον στέγει, οὕτω καὶ ἡ γαστὴρ [4] διίει τὴν τροφὴν, καὶ ὑποστάθμην ἴσχει ὥσπερ ἀγγεῖον.

12. Οἱ τρόποι τῶν νούσων, τὰ μὲν [5] συγγενικά ἐστιν εἰδέναι πυθόμενον, καὶ τὰ ἀπὸ τῆς χώρης (οἰκέονται γὰρ οἱ πολλοὶ, διὸ πλέονες ἴσασι), τὰ [6] δὲ ἐκ τοῦ σώματος, καὶ [7] τῶν διαιτημάτων, καὶ καταστάσιος [8] τῆς νούσου, ἢ ἀπὸ [9] ὡρέων. Αἱ δὲ χῶραι πρὸς τὰς [10] ὥρας κακῶς κείμεναι τοιαῦτα τίκτουσι νουσήματα, ὁκοίη ἂν ἡ ὥρη, ταύτῃ ὁμοίως, οἷον ἀνώμαλον θάλπος [11] ἢ ψῦχος τῆς αὐτῆς ἡμέρης, ὅταν τοιαῦτα ποιέῃ, φθινοπωρινὰ ἐν τῇ χώρῃ τὰ νουσήματα· καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσι κατὰ λόγον. Τὰ [12] μὲν ἀπὸ ὀδμέων, βορβορωδέων ἢ ἑλωδέων, [13] τὰ δὲ ἀπὸ ὑδάτων, λιθιῶντα, σπληνώδεα, [14] τὰ τοιαῦτα δ' ἀπὸ πνευμάτων χρηστῶν τε καὶ κακῶν.

13. Ὥρης δὲ [15] οἷαι ἔσονται αἱ νοῦσοι καὶ καταστάσιες, ἐκ τῶνδε· [16] ἢν αἱ ὧραι ὡραίως, εὐτάκτως, εὐκρινέας νούσους ποιέουσιν· αἱ

[1] Δένδρα Gal. – ἔνθεθεν μὲν σκληρόσαρκα A. – Galien dit que ceci est une comparaison des membranes de l'estomac avec les enveloppes des végétaux. Rien ne l'indique dans notre texte; mais peut-être ce texte a-t-il quelque lacune, par exemple : οὕτω καὶ ἡ κοιλίη omis après τοιοῦτον. — [2] ἐνιαυτοῖς A. – τὰ ζῶντα; οὐ τρίβεται τὰ ζῶντα γρ. A. – βελτίω om. A. – χρώμενα τοῖσι βελτίοσιν P'. – ὑδριεῖον A. – ὑδρίον vulg. – ἴδρυον Gal. – Des traces de la forme ionienne me paraissent avoir été conservées par A. — [3] διαπεῖ· εἰ δὲ π. (sic) A. – δὲ στέγει Galien. — [4] δίει EFGHIK, Ald. – δέει J. – δεῖ Gal. – ἰδίη A. – Ante ἴσχει addunt ἔχει FGIJK – ἔχει L. – Cette comparaison, que Galien dit gracieuse, mais qu'il n'explique pas, est fort obscure; on ne voit pas comment les deux termes se répondent. Cette difficulté a été aperçue par Günz, dans son édition de ce traité; pour la lever, il propose cette explication-ci : Semblable au vase qui, neuf, laisse passer les liquides et, vieux, les retient, le ventre, dans la jeunesse, laisse l'aliment pénétrer dans le corps, d'où croissance rapide, et, dans la vieillesse, retient un résidu plus considérable, d'où absence de croissance et détérioration. — [5] συγγ. A. – πειθ. A. – οἰκ. γὰρ οἱ πολλοὶ, διὸ πλέονες ἴσασι A. – οἰκ. (οἱ κέονται (sic) L) γὰρ διὰ πλειόνων, καὶ πολλοὶ ἴσασι vulg. — [6] δ' A. — [7] καὶ τὰ ἀπὸ τῶν δ. A. – καὶ ἀπὸ τῶν δ. H. – καὶ ἀπὸ δ. E. — [8] ἢ ἀπὸ τῆς ν. A. – Foes, dans ses notes, voudrait qu'on lût τοῦ ὅλου, au lieu de τῆς νούσου. — [9] ἀπὸ τῶν ὡρῶν A. – ὡραίων E (H, ex ὡρέων quod prius fuit). – ὥρης K', — [10] χώρας A. – κείμεναι Codd. – διακείμεναι vulg.

vents, les âges ressemblent aux saisons et aux années ; les choses vivantes ne s'usent pas ; quand on s'en sert modérément, elles s'améliorent. Comme un vase, neuf, laisse passer le liquide, et, vieux, le retient, ainsi l'estomac laisse passer l'aliment, et garde un résidu comme un réservoir (*Voy. note* 4).

12. Des modes des maladies : certains sont congénitaux, et on les connaît en interrogeant, ainsi que d'autres qui dérivent des localités ; car, dans une population nombreuse, beaucoup sont toujours instruits de ces particularités ; d'autres enfin naissent du corps, du régime, de la constitution de la maladie et des saisons. Les pays mal situés par rapport aux saisons engendrent des maladies conformes au caractère de la saison. Ainsi les irrégularités du froid et du chaud pendant la même journée produisent, dans le pays, des affections automnales, et ainsi des autres saisons (Aph. III, 4). Des maladies naissent des odeurs qu'exhalent la fange et les marais ; les eaux donnent naissance à des calculs (Des airs, des eaux et des lieux, 9, t. II, p. 37) et à des affections de la rate (ib. 7, p. 27) ; et de telles eaux sont sous l'influence de vents bons ou mauvais (ib. 9, p. 39).

13. Ce que seront dans une saison les maladies et les constitutions, on en jugera ainsi qu'il suit : si les saisons marchent

— νουσήματα AH. – ὁποῖα ἂν ἡ ὥρη, ταύτῃ ὁμοίως, οἷον A. – ὁκοίῃ ἂν ὥρῃ ὁμοῖαι (ὅμοιαι Gal.) ἔωσιν, οἷον vulg. — [11] ἡ om. A. – ψῦχος Kühn. – ψύχος vulg. – φθιν. ἐν τ. χ. τὰ νοσ., ὅταν τοιαῦτα ποιέῃ A. – ποιέῃ doit être pris dans le sens de γένηται ; voy. les variantes pour l'Aph. parallèle, III, 4, note 28. — [12] δὲ A. – ἀπὸ τῶν δδ. EH. – βορρωδέων (E, emend. al. manu) FGHIJK. — [13] τὰ ..... σπληνώδεα om. FGIJK. – τε pro δὲ A. – ὑπὸ H. – λιθιῶντας καὶ σπληνώδεας A. — [14] τὰ τοιαῦτα δ' ἀπὸ A. – τὰ δὲ ἀπὸ vulg. – τε om. A. – Post κακῶν addunt ἄρχονται vulg. ; ἔρχονται Gal. in cit. in Comment. – ἄρχ. om. A. – J'ai suivi le texte de A, guidé par le passage parallèle *Des airs, des eaux et des lieux*, où il est dit des eaux : ἰσχύει δὲ οὐκ αἰεὶ τωὐτὸ, ἀλλ' ἄλλοτε ἄλλο κατὰ τὰ πνεύματα, τῷ μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται, τῷ δὲ ὁ νότος. — [15] οἷα vulg., par une faute d'impression répétée dans Kühn. – ἔσονται (αἱ A) ν. (καὶ A) καταστάσιες (καταστασίων A) vulg. – ἔσονται [τοῖσι (sic) αἱ] νοῦσοι· καὶ καταστάσιες Lind. — [16] ἢν om. A. – αἱ om., restit. al. manu, H. – ὡρέως Ald. – εὐτάκτους A. – νούσους AH, Lind. – νόσους vulg.

[1] δὲ ἐπιχώριοι τῇσιν ὥρῃσι νοῦσοι δῆλαι τοὺς τρόπους· ὅ τι δ' ἂν ἐξαλλάξῃ ἡ [2] ὥρῃ, ὅμοια ἢ ἀνόμοια ἔσται τὰ νουσήματα, οἷα ἐν τῇ ὥρῃ ταύτῃ γίνεται· [3] ἢν δ' ὁμοίως ἄγῃ, τοιουτότροπα καὶ ἐπὶ [4] τοιοῦτα εἱλκυσμένα, οἷον ἴκτερον φθινοπωρινόν· ψύχεα γὰρ ἐκ θαλπέων, [5] καὶ θάλπος ἐκ ψύχεος· καὶ ἢν τὸ θερινὸν χολῶδες γένηται, καὶ αὐξηθὲν ἐγκαταλειφθῇ, [6] καὶ ὑπόσπληνοι. Ὅταν οὖν καὶ [7] ἦρ οὕτως ἀγάγῃ, καὶ ἦρος γίνονται ἴκτεροι· ἐγγυτάτω γὰρ αὕτη [8] ἡ κίνησις τῇ ὥρῃ κατὰ τοῦτο τὸ εἶδός ἐστιν. [9] Ὅταν δὲ θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτες ἐν τοῖσι πυρετοῖσι, καὶ εὔτροποι, καὶ οὐ [10] κατόξεες, οὐδὲ κατάξηροι γλώσσῃσιν. Ὅταν [11] δὲ χειμέριον γένηται ἦρ καὶ ὀπισθοχειμών, χειμεριναὶ καὶ αἱ νοῦσοι, καὶ βηχώδεες, καὶ περιπλευμονικαὶ, [12] καὶ κυναγχικαί. [13] Καὶ φθινοπώρου, ἢν μὴ ἐν ὥρῃ καὶ ἐξαίφνης χειμάσῃ, [14] μὴ ξυνεχέως τοιαύτας νούσους ποιέει διὰ τὸ μὴ ἐν ὥρῃ ἦρχθαι, [15] ἀλλὰ ἀνώμαλα γίνεται· διόπερ καὶ αἱ ὧραι ἄκριτοι καὶ ἀκατάστατοι γίνονται, ὥσπερ [16] καὶ αἱ νοῦσοι, ἐὰν προεκρηγνύωνται, ἢ προκρίνωνται, ἢ ἐγκαταλείπωνται· φιλυπόστροφοι γὰρ καὶ αἱ ὧραι [17] γίνονται, οὕτω νοσοποιέουσαι. Προσλογιστέον οὖν, [18] ὁκοίως ἂν ἔχοντα τὰ σώματα αἱ ὧραι παραλαμβάνωσιν.

[1] Δ' A, Ald., Frob., Gal. – τοῖσιν A. – τῇσι μὲν ὥρ. K. – δῆλαι A. – δηλοῦσι vulg. — [2] Post ὥ. addit. αὕτη καὶ οὕτως ἄγῃ A. – ἢ ἀν. om. A. – ἀνόμια Ald. – νοσ. AH. – γίγνεται (H, alia manu), Gal. – γίνονται J. — [3] εἰ δ' ὁμ. ἄγῃ A. – τοιουτότροπα vulg. – ἢ om. A. — [4] τοιούτοισιν K. – ἴκτερον φθ. ψ. γὰρ om. A. — [5] καὶ om. GK. – ψύξιος A. – D'après Galien, l'ictère, maladie propre à l'été, se développe en automne, quand l'automne se trouve avoir les conditions de l'été. Mais cette interprétation ne tient pas compte de *ψύχεα γὰρ ἐκ κτλ.*; or, ces alternatives de température appartiennent à l'automne comme il a été dit § 12; je suis donc Günz, qui regarde l'ictère ici nommé non comme une maladie estivale, se produisant en automne, mais comme une maladie automnale, produite par les conditions particulières à cette saison. Toutefois, l'influence de l'été se fait aussi sentir. « La bile, dit l'auteur du traité *De la nature de l'homme*, se soulève en été et se prolonge en automne. » Comme on voit, dans les idées des Hippocratiques, l'influence de l'été s'étend jusqu'à l'automne, où, sous l'action propre à cette dernière saison, elle engendre l'ictère automnal. — [6] Ante *καὶ* addit *καὶ ἴκτεροι* A. – *ὑπόσπληνον* E. – *ὑπόσπληνες* K. — [7] *ἔαρ* A. – *τὸ ἦρ* Lind. – *ὁ ἦρ* (sic) HJK. – *ὁ ἀὴρ* vulg. – D'après Foes, dans ses notes, quelques mss. ont *ἠήρ*; ces mss. ne sont pas à la Bibl. Roy. — [8] *κείνη* pro *ἡ κίν.* A. — [9] *ἔστι δ' ὅτε τὸ θέρος ἔαρι ὅμοιον* pro *ὅταν ..... ὅμοιον* A. – In marg. *ὅταν θέρος ἔαρι ὅμοιον* H. – *ἱδρῶτες* JKK'. – *ἱδρῶτας* vulg. — [10] *κατοξέες* Mack. – *καταξήριοι γλώσσαις* A. — [11] *δὲ* om. A. – *ἔαρ* sine

avec opportunité et régularité, les maladies seront d'une solution facile (Ép. II, 1, 5; Aph. III, 8). Les maladies familières aux saisons ont des caractères manifestes. Suivant les changements qu'éprouvera la saison, les maladies qui y naîtront seront semblables ou dissemblables; si la saison marche d'une manière égale, elles auront le même caractère ou elles y tendront; tel est l'ictère de l'automne, car le froid succède au chaud et le chaud au froid (Des humeurs, 12). Si l'été est bilieux et que la bile, accrue, demeure dans le corps, la rate aussi sera affectée. Si le printemps même a cette constitution, les ictères viennent même au printemps; car ce mouvement morbide est le plus conforme à la saison ainsi disposée. Quand l'été ressemble au printemps, il se manifeste de la sueur dans les fièvres (Aph. III, 6); elles sont sans malignité, sans acuité, et les langues ne s'y sèchent pas. Quand le printemps tient de l'hiver et semble être un arrière-hiver (Ép. I, 4, t. II, p. 615), les maladies sont hibernales, toux, péripneumonies, angines. L'automne aussi, s'il offre hors de saison et soudainement un temps d'hiver (Ép. I, ib.), n'engendre pas d'une façon continue des maladies conformes, parce que le commencement n'a pas été régulier, et les affections sont anomales. Ainsi les saisons peuvent, comme les maladies, manquer de crise et de règle, quand elles font une irruption prématurée, anticipent sur la solution, ou laissent des reliquats; les saisons en effet sont sujettes aussi à des retours et engendrent ainsi des maladies. Donc il faut considérer en quelle disposition sont les corps au moment où les saisons les reçoivent.

γέν. A. – ὀπίσω οὐ χειμὼν ἢ (sic) pro ὄπισθ. A. – περιπλ. A. – περιπν. vulg. — [11] καὶ A. – ἢ (ἢ om., E restit. al. manu, FGHIJK, Ald.) pro καὶ vulg. — [13] καὶ om. A. – φθινόπωρον Ald., Gal. – μὴ om. A. — [14] μὴ om. A. – ξυνεχέας A. – συνεχέως vulg. – ταύτας τὰς pro τοιαύτας A. – νούσους A, Lind. – νόσους vulg. – ποιεῖ EFGHIJK. — [15] ἀλλ' A. – γίνεται A. – γίνεσθαι vulg. — [16] καὶ om. A. – προκρίνονται A. – προσεκρίνονται vulg. – προεκρίνονται Ald. — [17] γίνονται A. – ὥσπερ αἱ νοῦσοι vulg. – ὥσπερ αἱ om. A. — [18] ὁμοίως A. – ἂν om. A. – παραλαμβάνουσιν Ald.

14. [1] Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί· ὅταν οὗτος δυναστεύῃ, τοιουτότροπα ἐν [2] τῇσι νούσοισι πάσχουσιν· ἕλκεα μαδαρὰ, μάλιστα στόμα, αἰδοῖον, καὶ τἄλλα. [3]Ἢν δὲ βόρειον, βῆχες, φάρυγγες, κοιλίαι σκληρότεραι, [3] δυσουρίαι φρικώδεες, [4] ὀδύναι πλευρέων, στηθέων, ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι μᾶλλον τὰ νουσήματα. [5]Ἢν μᾶλλον [5] πλεονάζῃ, αὐχμοῖσιν οἱ πυρετοὶ ἕπονται καὶ ὄμβροισιν, ἐξ ὁποίων [6] ἂν οἱ πλεονασμοὶ μεταπέσωσι, καὶ ὅκως ἂν ἔχοντα τὰ σώματα παραλάβωσιν ἐκ τῆς ἑτέρης [7] ὥρης, καὶ ὁκοιουτινοσοῦν χυμοῦ δυναστεύοντος ἐν τῷ σώματι. Ἀτὰρ ἀνυδρίαι [8] νότιαι, βόρειαι· διαφέρει γὰρ καὶ τἄλλα οὕτω· μέγα γὰρ καὶ τοῦτο· ἄλλος γὰρ ἐν ἄλλῃ [9] ὥρῃ καὶ χώρῃ μέγας, οἷον τὸ θέρος χολοποιὸν, ἦρ ἔναιμον, [10] τἄλλα ὡς ἕκαστα.

15. Αἱ μεταβολαὶ μάλιστα τίκτουσι [11] νουσήματα, καὶ αἱ μέγισται μάλιστα, καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ, καὶ ἐν τοῖσιν ἄλλοισιν· [12] αἳ δ' ἐκ προσαγωγῆς γίνονται, αἱ ὧραι αὗται ἀσφαλέσταται, ὥσπερ καὶ δίαιται καὶ ψῦχος καὶ θάλπος μάλιστα ἐκ προσαγωγῆς, καὶ [13] ἡλικίαι οὕτω μεταβαλλόμεναι.

16. Φύσιες δὲ ὡς πρὸς τὰς ὥρας, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ καὶ [14] κακῶς πεφύκασιν, αἱ δὲ πρὸς [15] χώρας καὶ ἡλικίας καὶ διαίτας καὶ τὰς ἄλλας καταστάσιας [16] τῶν νούσων ἄλλαι πρὸς ἄλ-

[1] In marg. ἐὰν νότειον H. – νότος βαρυήκοον ἀχλυῶδες καρηβαρικὸν διαλυτικὸν νωθρὸν A. – βαρύκοοι E. – καρυβαρινοὶ H, Gal. – οὕτως A, Gal. — [2] τοῖσι A. — [3] δυσουρότεροι A. — [4] ὀδυνώδεες A. – ὅταν A. – οὕτως A. – οὖν pro οὗτος Gal. – τὰ νοσήματα μᾶλλον A. — [5] δυναστεύῃ Gal. – D'après Foes, dans ses notes, quelques mss. rapportent ἢν μᾶλλον πλεονάζῃ à ce qui précède, et non à ce qui suit. — [6] δ' ἂν A. – καταπίπτωσι Gal. – D'après Galien, πλεονασμοὶ signifie les humeurs redondantes dans le corps. Je préfère entendre πλεονασμοὶ de l'influence exagérée de la saison qui règne dans le moment. — [7] χώρης A. – ὁποίου τινὸς A. — [8] νότιοι, βόριοι A. – οὕτως A. – ὅτω EFGIJK. — [9] χ. καὶ ὥρῃ A. – ἔαρ αἴνεμον A. — [10] τὰ ἄλλα AH. — [11] νοσ. A, Gal. — [12] αἳ δ' ἐκ A. – τὰ δὲ ἐκ vulg. – γίνονται A. – γίνεται vulg. – καὶ αἱ ὧ. αὗται EH. – καὶ αἱ ὧ. αἱ τοιαῦται A. – ψῦχος Kühn. – ψύχος vulg. — [13] καὶ αἱ ἡλ. A. — [14] εὖ ἢ κακῶς K'. – ὡς δὲ pro αἱ δὲ K'. — [15] Post χ. addit καὶ ὥρας E (al. manu; H), K'Q'. — [16] Les éditions mettent un point avant τῶν, suivant en cela Aph. III, 3, suivant aussi Galien, qui dans son commentaire rapporte τῶν νούσων à ἄλλαι. Mais l'aphorisme III, 3, quoique certainement en cet état depuis la première publication, est altéré (voy. t. IV, p. 487, n. 21); et c'est sans doute cette rédaction vicieuse qui, dans le traité *Des humeurs*, a fait mettre un

14. Les vents du midi émoussent l'ouïe, obscurcissent la vue, appesantissent la tête, engourdissent, résolvent ; quand ils règnent, les maladies affectent un caractère conforme (Aph. III, 5), il survient des ulcères humides, surtout à la bouche et aux parties génitales (Aph. III, 21). Si le vent est du nord, viennent les toux, les angines, les constipations, les dysuries avec frisson, les douleurs de côté, de poitrine ; telles sont les maladies qu'on doit attendre quand il règne (Aph. III, 5). Si ces vents prennent une prédominance encore plus grande, les fièvres suivent les sécheresses et les pluies, selon ce qui a précédé cette prédominance, selon les modifications qu'aura imprimées au corps la saison antécédente, et selon la prépondérance de telle ou telle humeur. Il y a des sécheresses avec le vent du nord et avec celui du midi ; ce sont encore des différences, et elles ont de l'importance ; car telle humeur prédomine dans une saison et un pays, et telle dans d'autres ; l'été engendre la bile, le printemps le sang, et ainsi des autres.

15. Les changements produisent surtout les maladies, et les plus grands les plus grandes, tant pour les saisons que pour le reste (Aph. III, 1). Mais les saisons qui procèdent par degrés sont les plus sûres, comme aussi les gradations offrent le plus de sûreté pour le régime, le froid, le chaud, et pour les âges encore lorsqu'ils suivent cette marche dans leur transformation.

16. Quant au rapport des natures individuelles avec les saisons, les unes sont bien ou mal disposées pour l'été, les autres pour l'hiver ; telles sont bien ou mal disposées pour un

[illegible]

[illegible] avant τῶν νούσων par Galien, et probablement par les autres commentateurs. Mais, d'une part, la phrase est bien plus claire, si on supprime ce point ; et, d'autre part, ce n'est que par une violence extrême qu'on sépare καταστάσιας de τῶν νούσων, avec d'autant moins de raison que, la ligne au-dessous, on trouve de nouveau καταστάσιας τῶν νούσων ; ce qui indique la vraie construction de ces mots. Foes, qui suit la ponctuation ordinaire, voudrait, dans ses notes, qu'on lût μεταστάσιας.

λας [1]εὖ καὶ κακῶς πεφύκασι, καὶ ἡλικίαι πρὸς ὥρας καὶ χώρας καὶ διαίτας καὶ πρὸς καταστάσιας νούσων· καὶ ἐν τῇσιν ὥρῃσι, [2]δίαιται, καὶ σιτία, καὶ ποτὰ, ὁ μὲν γὰρ χειμὼν ἀργὸς ἔργων, καὶ πέπονα τὰ [3]ἐσιόντα καὶ ἁπλᾶ, μέγα γὰρ καὶ τοῦτο· αἱ ὀπῶραι δὲ ἐργάσιμοι, ἡλιώσιες, τὰ πινόμενα [4]πυκνὰ, ἀκατάστατα σιτία, οἶνοι, ἀκρόδρυα.

17. [5]Ὥσπερ δὲ ἐκ τῶν ὡρέων τὰς νούσους ἐστὶ τεκμήρασθαι, ἔστι ποτὲ καὶ ἐκ τῶν νούσων ὕδατα καὶ ἀνέμους καὶ ἀνυδρίας προγινώσκειν, οἷον βόρεια, νότια· ἔστι γὰρ εὖ μαθόντι [6]καὶ ὀρθῶς, ὅθεν σκεπτέα, [7]οἷον καὶ λέπραι τινὲς καὶ περὶ τὰ ἄρθρα πόνοι, ὕδατα ὅταν μέλλῃ, κνησμώδεές εἰσι, καὶ ἄλλα τοιαῦτα.

18. Καὶ [8]ὑσμάτων οἷα ἢ διὰ τρίτης, ἢ ἑκάστης, ἢ διὰ περιόδων ἄλλων, καὶ τὰ συνεχέα· καὶ ἀνέμων οἱ μὲν πολυήμεροι πνέουσι, καὶ ἀντιπνέουσι ἀλλήλοισιν, ἄλλοι δὲ διὰ βραχυτέρων, οἱ δὲ καὶ αὐτοὶ κατὰ περίοδον, [9]ταῦτα ἔχει τῇσι καταστάσεσιν ὁμοιότητας, ἐπὶ βραχύτερον δὲ τὰ τοιαῦτα. [10]Καὶ εἰ μὲν ἐπὶ πλέον τὸ ἔτος τοιοῦτον ἐὸν τὴν κατάστασιν ἐποίησε τοιαύτην, ἐπὶ [11]πλέον καὶ τὰ νουσήματα τοιαῦτα καὶ μᾶλλον ἰσχυρότερα καὶ [12]μέγιστα νουσήματα οὕτως ἐγένετο καὶ κοινότατα καὶ ἐπὶ πλεῖστον χρόνον. Ἐκ τῶν πρώτων ὑδάτων, ὅταν ἐξ [13]ἀνυδρίης πολλῆς μέλλῃ ὕδωρ ἔσεσθαι, ἔστι περὶ ὑδρώπων προειπεῖν, καὶ ὁκόταν τἄλλα σμικρὰ σημήϊα φανῇ ἐν νηνεμίῃ, ἐν μεταβολῇ, [14]ξυνακτέον, ὅσαι μὲν ἐφ᾽ οἵοισιν ὕδασιν [15]ἢ ἀνέμοισι νοῦσοι ἐπισημαί-

